

ΙΑΝΟΥΑΡΙΟΥ ΚΔ΄

# Ἀνάμνησις τῆς Θεοσημείας, ἤτοι τῆς θαυμαστῆς διασώσεως τοῦ ὁσίου πατρὸς ἡμῶν ΝΕΟΦΥΤΟΥ τοῦ Ἐγκλείστου καὶ Μνήμη τῆς ὁσίας μητρὸς ἡμῶν ΞΕΝΗΣ.

## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν Στίχους ς΄, καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια, τῆς Θεοσημείας γ΄ καί τῆς Ὁσίας γ΄.

Τῆς Θεοσημείας.

Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.

Ἔρως πνευματικὸς ἀδελφοί, ὑπεισελθὼν ἐν τῷ πατρὶ οὐκ ἠνέσχετο, ἐμμένειν ἐν τῇ Ἐγκλείστρᾳ, τῇ ὑπ᾽ αὐτοῦ τε θερμῶς, ἀνακαινισθείσῃ φαιδροτάτως τε, εἰς ἣν καὶ μεγίστους γάρ, καθυπέστη ἀγῶνάς τε, ἀλλ᾽ ἄνω ταύτης, ἀνελθεῖν καὶ δωμάτιον, ὑπορύξασθαι, εἰς κατοίκησιν ἕτερον· ἵνα ἡσύχως ἐν τούτῳ τε, σχολάζῃ ἀπρόϊτος, ὕμνοις ἐνθέοις καὶ πόνοις, συχνοῖς δοξάζων εὐχόμενος· Χριστὸν καταπέμπειν, αὐτῷ τε καὶ τῷ κόσμῳ, τὸ μέγα ἔλεος.

Πίστει καὶ λογισμῷ ἀκλινεῖ, καθυποφράξας ἑαυτὸν ἀνελήλυθεν, τῷ τύπῳ τοῦ ζωοδώρου, καὶ ἀηττήτου Σταυροῦ, ὁ πατὴρ ὁ θεῖος ἀνωτέρωθεν, ἀφ᾽ ἧς καὶ κατέμενε, τῆς Ἐγκλείστρας τὸ πρότερον, καὶ καινοτέραν, ἑαυτῷ μὲν κατάδυσιν, εἰς κατοίκησιν, ἀνεγείρας ἡσύχιον· ἵνα ὡς ἐν λιμένι τε, τὸν νοῦν μεθαρμόζειεν, πρὸς τοὺς ἐκεῖθεν λιμένας, τοὺς παγγαλήνους ἐν ταύτῃ δέ, ὑμνῇ τὸν Σωτῆρα, τὸν παρέχοντα τῷ κόσμῳ, τὸ μέγα ἔλεος.

Βλέπων ὁ δολιόφρων ἐχθρός, ὦ ἱερὸν καὶ θεοσύλλεκτον ἄθροισμα, τὸν θεῖον καὶ ἀρχηγέτην, ἡμῶν πατέρα σπουδῇ, διορύττοντα πόθῳ εἰς τὸ ἄνωθεν, δι᾽ ἧς καὶ κατέμενε, τῆς Ἐγκλείστρας ἀνώγαιον, οἰκητήριον, ἱερὸν καὶ σεβάσμιον, οὐκ ἠνέσχετο, ἀλλ᾽ ἠπείγετο θάνατον, ξένον καὶ πα-

νολέθριον, ἐκ λίθου μεγίστου τε, καὶ ἠλιβάτου κρημνοῦ γάρ, αὐτῷ ἐνέγκαι ἀλλόκοτον, ἀλλ᾿ οὖν ὁ γεννάδας, ἐπεφώνει· δός μοι Σῶτερ, τὸ μέγα ἔλεος.

Τῆς Ὁσίας.

Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Μεταναστεύουσα πρῴην, τῇ διαθέσει Σεμνή, καὶ βεβαιοῦσα ἔργῳ, τὸ κριθέν σοι ἐννοίᾳ, ἐξῆλθες τῆς ματαίας τῶν ἡδονῶν, μακαρία σκαιότητος, καὶ ἀρετῶν τῇ τραχείᾳ εὐθυδρομεῖς, ἀναβάσει ξενιτεύσασα.

Ἐν τῷ λιμένι τοῦ θείου, προσορμισθεῖσα ἰσθμοῦ, διαπερᾷς κυμάτων, τῶν τοῦ κόσμου τὸν σάλον, ψυχῆς δέ σου τὸ πλοῖον, σάλων Σεμνή, ἀδιάκλυστον φέρουσα, ἐξ ἡδονῶν τῆς πικρίας τῶν μυστικῶν, ἀγωγίμων μένεις ἔμπλεως.

Θεοπρεπεῖ τῇ μιμήσει, σὺ ξενιτεύσασα, τοῦ δι᾿ ἡμᾶς ἐξ ἄνω, πρὸς ἡμᾶς κατελθόντος, ὑψῶσαι τοὺς πεσόντας, μένεις σοφή, συγγενέσι μὲν ἄγνωστος, τοῖς εὐσεβέσι δὲ μᾶλλον, καὶ τῷ Θεῷ, Ξένη πάντοτε πρεσβεύουσα.

Δόξα... Ἦχος πλ. β΄.

Σήμερον ὁ Λίθος, ὁ ἐξ ὄρους τῆς Παρθένου γεννηθεὶς ἐν σπέῳ, ὅσιον θεοτερπῆ καὶ θεράποντα, ἠγλαϊσμένον λατρευτήν, χειρὶ ἐνδόξῳ καὶ βραχίονι παντοδυνάμῳ, ὡς παντουργός, ἐκ θανάτου ἔσωσε· ὁ τὸν θάνατον τῷ πανζωηφόρῳ καὶ ἀκηράτῳ Σταυρῷ, πάλιν θανατώσας, καὶ τὰ θεῖα ἱερὰ σπέα, ἐκ λίθων καὶ πανδείνων ἀβλαβῆ, καὶ κακούργων διεσώσατο δαιμόνων. Χριστέ, σῶσον αὐτὰ εἰς ἀπείρους χρόνους, ὡς εὔσπλαγχνος.

Καὶ νῦν... Θεοτοκίον.

Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε; τίς μὴ ἀνυμνήσει σου τὸν ἀλόχευτον τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρός, ἐκλάμψας Υἱὸς μονογε-νής, ὁ αὐτὸς ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν, ἀφρά-στως σαρκωθείς, φύσει Θεὸς ὑπάρχων, καὶ φύ-σει γενόμενος ἄνθρωπος δι᾿ ἡμᾶς· οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ᾿ ἐν δυάδι φύσεων, ἀ-συγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, σεμνὴ Παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἴσοδος. Φῶς ἱλαρόν, καὶ τὸ Προκείμενον τῆς ἡμέρας.

Σημ.: Εἰ βούλει εἰπεῖν Ἀναγνώσματα, ἀνάγνωθι τὰ κατωτέρω διαλαμβανόμενα.

### Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.

(Κεφ. μη΄ 17 - 21, μθ΄ 13 - 15).

Οὕτω λέγει Κύριος, ὁ ῥυσάμενός σε, ὁ ἅγιος Ἰσραήλ· Ἐγώ εἰμι Κύριος ὁ Θεός σου, δέδειχά σοι εἰς ὠφέλειαν τοῦ εὑρεῖν σε τὴν ὁδόν μου, ἐν ᾗ πορεύσῃ ἐν αὐτῇ· καὶ εἰ εἰσήκουσας τῶν ἐντολῶν μου, ἐγένετο ἂν ὡσεὶ ποταμὸς ἡ εἰρήνη σου καὶ ἡ δικαιοσύνη σου ὡς κύματα θαλάσσης· καὶ ἐγένετο ἂν ὡς ἡ ἄμμος τὸ σπέρμα σου καὶ τὰ ἔγκονα τῆς κοιλίας σου ὡς ὁ χοῦς τῆς γῆς. Καὶ οὐδὲ νῦν οὐ μὴ ἐξολοθρευθῇς, οὐδὲ μὴ ἀπολεῖται τὸ ὄνομά σου ἐνώπιον ἐμοῦ. Ἔξελθε ἐκ Βαβυλῶνος φεύγων ἀπὸ τῶν Χαλδαίων· φωνὴν εὐφροσύνης ἀναγγείλατε, καὶ ἀκουστὸν γενέσθω τοῦτο. Ἀπαγγείλατε ἕως ἐσχάτου τῆς γῆς, λέγετε ὅτι ἐρρύσατο Κύριος τὸν δοῦλον αὐτοῦ Ἰακώβ, καὶ οὐκ εἴασεν αὐτὸν διψῆσαι δι᾿ ἐρήμου ἄγων αὐτόν.

Εὐφραινέσθωσαν οἱ οὐρανοί, καὶ ἀγαλλιάσθω ἡ γῆ, ῥηξάτωσαν τὰ ὄρη εὐφροσύνην, ὅτι ἠλέησεν ὁ Θεὸς τὸν δοῦλον αὐτοῦ. Εἶπε δὲ Σιών· Ἐγκατέλιπέ με Κύριος ὁ Θεός, καὶ ἐπελάθετό μου. Μὴ ἐπιλήσεται γυνὴ τοῦ παιδίου αὐτῆς τοῦ μὴ ἐλεῆσαι τὰ ἔκγονα τῆς κοιλίας αὐτῆς; Εἰ δὲ καὶ ταῦτα ἐπιλάθοιτο γυνή, ἀλλ᾿ ἐγὼ οὐκ ἐπιλήσομαί σου, λέγει Κύριος.

### Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.

(Κεφ. ξα΄ 10 - 11, ξε΄ 18 - 25).

Ἀγαλλιάσεται ἡ ψυχή μου ἐπὶ τῷ Κυρίῳ· ἐνέδυσε γάρ με ἱμάτιον σωτηρίου καὶ χιτῶνα εὐφροσύνης περιέβαλέ με· ὡς νυμφίῳ περιέθηκέ μοι μίτραν καὶ ὡς νύμφην κατεκόσμησέ με κόσμῳ. Καὶ ὡς γῆ αὐξάνουσα τὸ ἄνθος αὐτῆς καὶ ὡς κῆπος τὰ σπέρματα αὐτοῦ ἐκφύῃ.

Καὶ ἰδοὺ ἐγὼ ποιῶ τὴν Ἱερουσαλὴμ ἀγαλλίαμα, λέγει Κύριος, καὶ τῷ λαῷ μου εὐφροσύνην, καὶ ἀγαλλιάσομαι ἐπὶ Ἱερουσαλὴμ καὶ εὐφραν-

θήσομαι ἐπὶ τῷ λαῷ μου καὶ οὐκέτι οὐ μὴ ἀκουσθῇ ἐν αὐτῇ φωνὴ κλαυθμοῦ οὐδὲ φωνὴ κραυγῆς. Καὶ οὐ μὴ γένηται ἐκεῖ ἄωρος ἡμέραις καὶ πρεσβύτης, ὃς οὐκ ἐμπλήσει τὸν χρόνον αὐτοῦ. Ἔσται γὰρ ὁ νεώτερος υἱὸς ἑκατὸν ἐτῶν καὶ οἰκοδομήσουσιν οἰκίας καὶ αὐτοὶ ἐνοικήσουσι, καὶ καταφυτεύσουσιν ἀμπελῶνας καὶ αὐτοὶ φάγονται τὰ γενήματα αὐτῶν· οὐ μὴ οἰκοδομήσουσιν καὶ ἄλλοι ἐνοικήσουσιν, καὶ οὐ μὴ φυτεύσουσιν καὶ ἄλλοι φάγονται· κατὰ τὰς ἡμέρας τοῦ ξύλου τῆς ζωῆς ἔσονται αἱ ἡμέραι τοῦ λα-οῦ μου· τὰ ἔργα τῶν πόνων αὐτῶν παλαιώσου-σιν· οἱ ἐκλεκτοί μου οὐ κοπιάσουσιν εἰς κενόν, ὅτι σπέρμα εὐλογημένον ὑπὸ Θεοῦ ἐστι. Καὶ ἔσται πρὶν ἢ κεκράξαι αὐτούς, ἐγὼ ἐπακούσο-μαι αὐτῶν, ἔτι λαλούντων αὐτῶν, ἐρῶ· τί ἐστιν; λέγει Κύριος παντοκράτωρ.

## Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.

(Κεφ. λγ΄ 14 - 17, ξγ΄ 7 - 9, μθ΄ 8).

Τάδε λέγει Κύριος παντοκράτωρ· τίς ἀναγγελεῖ ὑμῖν τὸν τόπον τὸν αἰώνιον; εἰ μὴ ὁ πορευόμενος ἐν δικαιοσύνῃ, λαλῶν εὐθεῖαν ὁδόν, μισῶν ἀνομίαν καὶ ἀδικίαν καὶ τὰς χεῖρας ἀποσειόμενος ἀπὸ δώρων, βαρύνων τὰ ὦτα, ἵνα μὴ ἀκούσῃ κρίσιν αἵματος, καμμύων τοὺς ὀφθαλμοὺς αὐτοῦ, ἵνα μὴ ἴδῃ ἀδικίαν. Οὗτος οἰκήσει ἐν ὑψηλῷ σπηλαίῳ πέτρας ἰσχυρᾶς· ἄρτος αὐτῷ δοθήσεται καὶ τὸ ὕδωρ αὐτοῦ πιστὸν καὶ οὗτος βασιλέα μετὰ δόξης ὄψεται.

Καὶ ἐρεῖ· τὸν ἔλεον Κυρίου ἐμνήσθην, τὰς ἀρετὰς Κυρίου ἀναμνήσω, τὴν αἴνεσιν Κυρίου ἐπὶ πᾶσιν οἷς ἡμῖν ἀνταποδίδωσιν μεγαλυνῶ. Κύριος κριτὴς ἀγαθὸς τῷ οἴκῳ Ἰσραὴλ ἐπήγαγεν ἡμῖν κατὰ τὸ ἔλεος αὐτοῦ καὶ κατὰ τὸ πλῆθος τῆς δικαιοσύνης αὐτοῦ. Καὶ εἶπεν· οὐχὶ λαός μου ἔσται τέκνα καὶ οὐ μὴ ἀθετήσωσιν; Καὶ ἐγένετο ἡμῖν εἰς σωτηρίαν ἐκ πάσης θλίψεως ἡμῶν· οὐ πρέσβυς οὐδὲ ἄγγελος, ἀλλ᾽ αὐτὸς ὁ Κύριος ἔσωσεν ἡμᾶς διὰ τὸ ἐλεεῖν ἡμᾶς καὶ φείδεσθαι ἡμῶν· αὐτὸς ἐλυτρώσατο ἡμᾶς καὶ ἀνέλαβεν ἡμᾶς καὶ ὕψωσεν ἡμᾶς πάσας τὰς ἡμέρας τοῦ αἰῶνος.

Καὶ εἶπε φιλανθρώπως· Καιρῷ δεκτῷ ἐπήκουσά σου καὶ ἐν ἡμέρᾳ σωτηρίας ἐβοήθησά σοι, λέγει Κύριος, παντοκράτωρ, ὁ ῥυσάμενος ἡμᾶς, ὁ ἅγιος Ἰσραήλ.

## Εἰς τὴν Λιτήν.

### Στιχηρὰ Ἰδιόμελα.

Ποίημα Νεοφύτου πρεσβυτέρου, μοναχοῦ καὶ Ἐγκλείστου.

Ἦχος β΄.

*Ὀφείλει ψάλλεσθαι ἔξωθεν τοῦ κελλίου τοῦ Ἐγκλείστου.*

Δεῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ, τὸ παρὸν μυστήριον ἐκδιηγούμενοι· ὁ γὰρ ἄναρχος Λόγος τοῦ Πατρός, ἐξ ἀπειρογάμου Μητρός, μορφὴν δούλου λαβών, καὶ σχέσιν πρὸς τοὺς ἰδίους δούλους ἐσχηκώς, ἐν ταῖς αὐτῶν καρδίαις, ἐπισπείρει τὰ δόξαντα· ἔνθεν καὶ τὸν Ἔγκλειστον δοῦλον αὐτοῦ, πρὸς τὰ τῆς Ἐγκλείστρας ἀνώτερα νοερῶς ἀνελθεῖν, καὶ ταμεῖον ἡσύχιον ἀνεγεῖραι ὑπετίθετο. Τούτῳ ὁ ἀντίπαλος τιτρωσκόμενος, μηχαναῖς ἐπειρᾶτο ἀθετῆσαι τὸ ἐγχείρημα. Ἀλλὰ τούτου ἀποτυχών, φόνον διὰ κρημνοῦ τε καὶ λίθου, δολίως ὁ δόλιος μεμελέτηκεν. Ἀλλ᾽ ἡ μητρόθεος Δέσποινα, καὶ ὁ γεννηθεὶς ἐξ αὐτῆς ἄχραντος Λόγος, προσκληθέντες ταχέως καταργοῦσι τὸν τύραννον, καὶ ὁ θάνατος οἴχεται, καὶ ὁ τούτου θεράπων θαυμαστῶς διασώζεται. Ὃς καὶ τότε καὶ νῦν, σὺν ἡμῖν ἐκβοᾷ· Ἔσωσέ με ἡ δεξιά σου Κύριε, δόξα τῷ κράτει σου.

Ἦχος γ΄.

*Ὀφείλει ψάλλεσθαι ἔνδοθεν τοῦ κελλίου τοῦ Ἐγκλείστου.*

Ὢ Σοφία καὶ Λόγε τοῦ Θεοῦ καὶ Δύναμις· ὢ πέτρα θαυμάτων Μωσαϊκῶν, ἐξ ἧς ποτιζόμεθα αἷμα σωτήριον καὶ ὕδωρ καθάρσιον, δι᾽ ἧς κατεκλάσθησαν πύλαι τυραννικαί, καὶ μοχλοὶ συνεντρίβησαν, καὶ πέτραι καὶ πᾶσα ἄψυχος κτίσις ὑπείκει τῷ κράτει σου. Ὢ λίθος ἐκλελεγμένος, ὁ τεθεὶς πρὸς Πατρός, εἰς τὰ θεμέλια Σιὼν τῆς σεπτῆς Ἐκκλησίας σου, καὶ πύλαι ᾄδου αὐτὴν οὐκ ἐσάλευσαν. Ὢ λίθος ἀκρόγωνος, θαυμαζόμενος ἐν γωνίᾳ τῆς θεοκλήτου Ἐκκλησίας σου, καὶ λίθος ὁ ἄνευ ἀνδρὸς ἐκ Παρθένου ἀποτμηθείς, καὶ συντρίψας εἰς χοῦν τὰ τῶν εἰδώλων ξόανα. Ὁ τῶν νῦν καὶ τῶν πάλαι θαυμασίων Θεός, ὁ τοῦ κρημνοῦ καὶ τοῦ λίθου καὶ τοῦ ἐντεῦθεν θανάτου, διασώσας τὸν δοῦλόν σου, βοήσαντα τῇ Μητρὶ καὶ τῷ κράτει σου, Φιλάνθρωπε, δόξα σοι.

Ἦχος πλ. α΄.

*Ὀφείλει ψάλλεσθαι ἐν τῇ δευτέρᾳ κλίμακι.*

Δεῦτε ἀναβῶμεν εἰς τὸ ὄρος Κυρίου, καὶ εἰς τὸν οἶκον τοῦ Θεοῦ Ἰακώβ· καὶ κατίδωμεν ἐκεῖ καινοπρεπῆ τεράστια, καὶ ὀψώμεθα ἐκεῖ ἄβυσσον ἐλέους, καὶ θαυμάσια Θεοῦ παράδοξα· πῶς ἠλιβάτου κρημνοῦ καὶ θανάτου πικροῦ, καὶ φθορᾶς αἰφνιδίου θανάτου, χειρὶ κραταιᾷ, καὶ Σταυροῦ τῇ δύναμει, τοῦ Προδρόμου πρεσβείαις, καὶ τῆς Θεοτόκου λιταῖς, ἐν ἀτόμῳ ῥοπῇ διεσώσατο τὸν δοῦλον αὐτοῦ, ἧς ταῖς πρεσβείαις Χριστὲ ὁ Θεός, ἐλέησον πάντας ἡμᾶς.

Ἦχος πλ. α΄.

*Ὀφείλει ψάλλεσθαι ἐντὸς τοῦ κελλίου τοῦ Ἐγκλείστου.*

Τὴν παντουργὸν καὶ Κυρίαν καὶ παναλκεστάτην φύσιν, Τριάδος τῆς ἀκτίστου, πῶς ἐξυμνήσωμεν; ὁ δοῦλός σου ἐβόα· Ὅτι μετὰ τῶν πολλῶν καὶ μεγάλων εἰς ἐμέ σου χαρίτων, καὶ ἀπὸ κρημνοῦ καὶ θανάτου ἐρρύσω με παραδόξως, καὶ λίθων τριῶν τὴν πτῶσιν ἐπέδησα, τῇ κλήσει τοῦ ἑνὸς τῆς Τριάδος, καὶ ἡ ῥύμη τῆς πτώσεως κεκράτηται νοερῶς· καὶ ἀχειρογλύφους γραμμάς, ἐν λιθίναις πλαξὶ τῆς Τριάδος ἰσαρίθμους, τὸ σπέος λαξεύων εὑρηκώς, εἰς σημεῖον ἀγαθὸν ὑπετόπασα τοῦτο, ἀλλ' ἡ Τριὰς ὁ Θεός μου, δόξα τῷ κράτει σου.

Ἕτερα Στιχηρὰ Ἰδιόμελα.

Ἦχος πλ. α΄.

Δεῦτε ἀναβῶμεν.

Δεῦτε ἀναβῶμεν εἰς τὰ ἄντρα τὰ θεῖα, καὶ εἰς τὰ σπέα τοῦ πατρὸς ἡμῶν, καὶ θεασώμεθα τὴν δόξαν τὴν θαυμαστοβλύζουσαν ἐκεῖ, ἀγλαοφανῆ παρὰ Θεοῦ· φωτὶ προσλάβωμεν φῶς, καὶ μετάρσιοι γενόμενοι τῷ πνεύματι, Τριάδα ὁμοούσιον ὑμνήσωμεν εἰς τοὺς αἰῶνας.

Ἦχος γ΄.

Ἔστησαν τά τριάκοντα.

Ἄνωθεν ἐπεσκίασεν ἡ χάρις σε, τοῦ Θεοῦ ὑποφῆτα πάτερ καὶ κατεφώτισε τὴν ἱεράν σου ψυχήν, πυρσοφώτοις ἀμαρύγμασιν· ὅθεν καὶ πανδείνου μόρου σε ἀλκῇ, θειοτέρᾳ ἔσωσεν, ὡς οἰκέτην πιστόν, καὶ θεράποντα οἰκεῖον.

Ἦχος πλ. β΄.

Οὗτος ὁ Θεὸς ἡμῶν, οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν· ὁ τὸν τούτου οἰκέτην, τῆς Βαβυλῶνος πάλαι ἐξελών, βίου τοῦ δεινοῦ, καὶ τοῦτον ἀγαγών, τέθεικεν ἐπ' ἄντρῳ στεῤῥῷ, εἰς πέτραν ἀχείμαστον, τηρήσας ἀλώβητον, ἐκ πάσης δεινῆς τελχίας, τοῦ σατᾶν ὡς εὔσπλαγχνος· καὶ ἡμεῖς μελῳδοῦμεν· Θεὲ παντάρχα, σῶσον τὰς ψυχὰς ἡμῶν.

Δόξα... Ἦχος πλ. δ΄.

Δεῦτε λαοί, τὴν τρισυπόστατον Θεότητα ἀνυμνήσωμεν, ᾠδαῖς μελῳδικαῖς, καὶ εὐφήμοις ᾄσμασιν. Αὐτὴ γὰρ τὰ σπέα παρήγαγεν αὐτά, ἐξ οὐκ ὄντος, καὶ ὑπέστησαν, βουλήσει κρείττονι, ἃ καὶ τῷ Σταυρῷ, τῷ σεπτῷ ἐχαρίσατο, ὥσπερ ἅγια δῶρα καὶ θεῖα. Ὅθεν καὶ λίθων, σφῶν ἀκροτόμων μόρου ἔσωσεν, γνήσιον καὶ πιστόν, οἰκέτην καὶ μυστολέκτην ἱερόν, τῇ πρεσβείᾳ τοῦ ἐνδόξου κήρυκος, λύχνου καὶ Βαπτιστοῦ, ἁγνῆς καὶ παρθένου Θεόπαιδος, ἱκεσίαις ἀλώβητον, καὶ τὴν πάντιμον Ἐγκλείστραν, ἄτρωτον ἐτήρησεν, μιαιφόνων τε λίθων, ὡς πανσθενὴς καὶ παντοδύναμος, καὶ ἀναφὴς καὶ ἀκατάληπτος· Τριὰς ἁγία, δόξα σοι.

Καὶ νῦν... Θεοτοκίον.

Τὰ οὐράνια ὑμνεῖ σε, κεχαριτωμένη Μήτηρ ἀνύμφευτε, καὶ ἡμεῖς δοξολογοῦμεν, τὴν ἀνεξιχνίαστόν σου γέννησιν· Θεοτόκε πρέσβευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἰς τὸν Στίχον.

Στιχηρὰ Προσόμοια.

Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Τῶν οὐρανίων ἀψίδων, ὀροφουργὲ Βασιλεῦ, τὸν ἱερόν σου δοῦλον, ἐν μεγίστοις κινδύνοις, κακῶς διατελοῦντα τοῦτον ἰδών, οὐ παρεῖδες ἀλλ' ἔσωσας, ἐκ τοῦ κρημνοῦ καὶ τοῦ λίθου ὡς συμπαθής, καὶ φιλάγαθος ἀπήμαντον.

Στίχ. Ἐν τῷ ἀκηδιᾶσαι τὴν καρδίαν μου· ἐν πέτρᾳ ὕψωσάς με, ὡδήγησάς με, ὅτι ἐγενήθης ἐλπίς μου.

Τῶν οὐρανίων χαρίτων, ἐπιποθῶν Θεουργέ, τῆς γεηρᾶς ἰλύος, ἀποστήσας τὸν νοῦν σου, ἀνέδραμες πρὸς ὕψος θεωριῶν, καὶ ἀκτῖσι τοῦ Πνεύματος, καταυγασθεὶς ἀναβλύζεις θεοτερπῆ, πανακήρατα διδάγματα.

Στίχ. Πύργος ἰσχύος ἀπὸ προσώπου ἐχθροῦ· παροικήσω ἐν τῷ σκηνώματί σου εἰς τοὺς αἰῶνας, σκεπασθήσομαι ἐν τῇ σκέπῃ τῶν πτερύγων σου.

Τῶν οὐρανίων θαλάμων, καὶ αἰωνίων μονῶν, καὶ τὰ ἐκεῖθεν κάλλη, ἐν αἰσθήσει καρδίας, αἰσθόμενος Θεόφρον καταλιπών, τὴν Ἐγκλείστραν τὴν κάτωθεν, καὶ τοὺς θορύβους ἀνῆλθες καὶ ἱερά, ἄλλα σπέα κατεσκεύασας.

Δόξα... Ἦχος πλ. α΄.

Δεῦτε χριστοφόροι λαοί, κατίδωμεν τί συνεβουλεύσατο ὁ δόλιος ἀντάρτης, σὺν τοῖς αὐτοῦ κακεργάταις κατὰ τοῦ ἐγκλείστου πατρός· σήμερον θάνατον ἐκ λίθου, οἱ κατάρατοι τούτῳ ὀλέθριον, ἐν τῷ ἄνωθεν ὀρόφῳ τῆς θείας Ἐγκλείστρας ἐτέκταινον, καὶ οὗτος πάσχων ἐβόα ὁ πατὴρ ἡμῶν λέγων· Σπεῦσον Θεὲ πάτερ εἰς τὴν ἀντίληψίν μου, ὅπως γνώσηται ὁ ἄφρων, τὴν εἰς ἡμᾶς σου χρηστότητα.

Καὶ νῦν... Θεοτοκίον.

Μακαρίζομέν σε Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄρρηκτον, τὴν ἀρραγῆ προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

Ἀπολυτίκια.

Τῆς Θεοσημείας.

Ἦχος πλ. δ΄.

Ξένον καὶ παράδοξον, τετέλεσται θέαμα σήμερον· λίθος γὰρ ὁ ἀναίσθητος, πρὸς τὰ ὀπίσω ἐφέρετο, ἀοράτῳ δυνάμει ὠθούμενος, καὶ δοῦλος Θεοῦ διεσώζετο, τοῦ κρημνοῦ παραδόξως· Φιλάνθρωπε, δόξα σοι.

Δόξα... Τῆς Ὁσίας.

Ἦχος πλ. δ΄.

Ἐν σοὶ Μῆτερ ἀκριβῶς, διεσώθη τὸ κατ' εἰκόνα· λαβοῦσα γὰρ τὸν Σταυρόν, ἠκολούθησας τῷ Χριστῷ, καὶ πράττουσα ἐδίδασκες, ὑπερορᾶν μὲν σαρκός, παρέρχεται γάρ, ἐπιμελεῖσθαι δὲ ψυχῆς, πράγματος ἀθανάτου· διὸ καὶ μετὰ Ἀγγέλων συναγάλλεται, ὁσία Ξένη τὸ πνεῦμά σου.

Καὶ νῦν... Θεοτοκίον.

Ὁ δι' ἡμᾶς γεννηθεὶς ἐκ Παρθένου, καὶ σταύρωσιν ὑπομείνας Ἀγαθέ, ὁ θανάτῳ τὸν θάνατον σκυλεύσας, καὶ ἔγερσιν δείξας ὡς Θεός, μὴ παρίδῃς οὓς ἔπλασας τῇ χειρί σου· δεῖξον τὴν φιλανθρωπίαν σου Ἐλεῆμον, δέξαι τὴν τεκοῦσάν σε Θεοτόκον, πρεσβεύουσαν ὑπὲρ ἡμῶν, καὶ σῶσον Σωτὴρ ἡμῶν, λαὸν ἀπεγνωσμένον.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ.

Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα.

Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.

Τὴν ψυχήν σου δεσμεύσας πόθῳ Χριστοῦ, τὰ γαιώδη μισήσας πάντα σαφῶς, ηὐλίσθης πάτερ Ὅσιε, ἐν ἐρήμοις καὶ ὄρεσι· τοῦ γνωστικοῦ γὰρ ξύλου, γευσάμενος ἔνδοξε, ὡς ἐξ ἀδύτων μύστης, ἀγγελικῶς διέλαμψας· ὅθεν καὶ τὸν γνόφον, διαβὰς τῆς σαρκός σου, τὸ σκότος ἐδίωξας, τῶν δαιμόνων μακάριε, μοναζόντων ὁ πρόκριτος· πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Δόξα... Καὶ νῦν... Θεοτοκίον.

Τὴν Σοφίαν καὶ Λόγον ἐν σῇ γαστρί, συλλαβοῦσα ἀφλέκτως Μήτηρ Θεοῦ, ἀφράστως ἀπεκύησας, τὸν τὰ πάντα ποιήσαντα· καὶ ἐν ἀγκάλαις ἔσχες, τὸν τὰ πάντα κατέχοντα· καὶ ἐκ μαζῶν ἐθήλασας, τὸν τὸν κόσμον ἐκτρέφοντα· ὅθεν δυσωπῶ σε, Παναγία Παρθένε, ῥυσθῆναι

πταισμάτων μου, ὅταν μέλλω παρίστασθαι, πρὸ προσώπου τοῦ Κτίστου μου. Δέσποινα Παρθένε ἁγνή, τὴν σὴν βοήθειαν τότε μοι δώρησαι· καὶ γὰρ δύνασαι, ὅσα θέλεις Πανάχραντε.

Μετὰ τὴν β΄ Στιχολογίαν, Κάθισμα.

Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Τὸν Ἀσκητὴν τοῦ Κυρίου ὕμνοις τιμήσωμεν, ὡς νεκρώσαντα πάσας τὰς προσβολὰς τοῦ ἐχθροῦ, δι᾽ ἐγκρατείας καὶ στεῤῥᾶς ὑπομονῆς ὡς ἀληθῶς, καὶ καταισχύναντα σφοδρῶς, τὸν ἀντίπαλον ἐχθρόν, καὶ πάσας τούτου ἐπάρσεις· καὶ νῦν πρεσβεύοντα Κυρίῳ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα... Καὶ νῦν... Θεοτοκίον.

Χαῖρε πύλη Κυρίου ἡ ἀδιόδευτος, ἣν προεκήρυξαν πάντες οἱ δικαιότατοι, καὶ ὁ προφήτης Δανιήλ, ὄρος καλεῖ νοητόν, καὶ Δαυῒδ ὁ μελῳδός, σὺν Μωϋσεῖ καὶ τοῖς λοιποῖς, βάτον καὶ στάμνον καὶ ῥάβδον, νεφέλην πύλην καὶ θρόνον, καὶ μέγα ὄρος, ἀναδειχθεῖσαν ἡμῖν.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα.

Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.

Ἀγρυπνήσας ἐν ὕμνοις καὶ προσευχαῖς, κατεκοίμησας πάθη τὰ τῆς σαρκός, ἐμπόνοις ἀσκήσεσιν, καὶ πολλοῖς ἀγωνίσμασι, καὶ ὑπνώσας ὕπνον, δικαίοις ἁρμόζοντα, πρὸς αὐγὴν μετέβης, ἀνέσπερον Ὅσιε· ὅθεν καὶ ἰάσεις, ἀναβλύζων ὑπάρχεις, λιμὴν ἀναψύξεως, τῆς ἐν ζάλῃ κακώσεως, θεοφόρε Νεόφυτε· πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Δόξα... Καὶ νῦν... Θεοτοκίον.

Ἐνθυμοῦμαι τὴν κρίσιν καὶ δειλιῶ, τὴν ἐξέτασιν φρίττω τὴν φοβεράν, τρέμω τὴν ἀπόφασιν, καὶ πτοοῦμαι τὴν κόλασιν, τὴν τοῦ πυρὸς ὀδύνην, τὸ σκότος τὸν τάρταρον, τὸν βρυγμὸν τῶν ὀδόντων, τὸν ἄϋπνον σκώληκα. Οἴμοι! τί ποιήσω, ἐν ἐκείνῃ τῇ ὥρᾳ, ὅταν τίθωνται θρόνοι, καὶ βίβλοι ἀνοίγωνται, καὶ αἱ πράξεις ἐλέγχωνται; Τότε Δέσποινα, βοήθειά μοι γενοῦ, καὶ προστάτις θερμότατος· σὲ γὰρ ἔχω ἐλπίδα, ὁ ἀνάξιος δοῦλός σου.

Σημ.: Εἰ βούλει εἰπεῖν Εὐαγγέλιον, ἀνάγνωθι τὸ κατωτέρω διαλαμβανόμενον.

Τὸ Α΄ Ἀντίφωνον τῶν Ἀναβαθμῶν τοῦ δ΄ Ἤχου.

Προκείμενον, Ἦχος δ΄.

Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

Στίχ. Προωρώμην τὸν Κύριον ἐνώπιόν μου διὰ παντός, ὅτι ἐκ δεξιῶν μού ἐστιν, ἵνα μὴ σαλευθῶ.

Πᾶσα πνοή.

Τὸ Εὐαγγέλιον.

**Ἐκ τοῦ κατὰ Λουκᾶν.**

(Κεφ. ιζ΄ 12-19).

(Ζήτει τῇ ΙΒ΄ Κυριακῇ Λουκᾶ).

Τῷ καιρῷ ἐκείνῳ, εἰσερχομένου τοῦ Ἰησοῦ εἴς τινα κώμην, ἀπήντησαν αὐτῷ δέκα λεπροὶ ἄνδρες, οἳ ἔστησαν πόῤῥωθεν, καὶ αὐτοὶ ἦραν φωνὴν λέγοντες...

Ὁ Ν΄ Ψαλμός.

Δόξα... Ταῖς τοῦ σοῦ Ὁσίου...

Καὶ νῦν... Ταῖς τῆς Θεοτόκου...

Στίχ. Ἐλέησόν με, ὁ Θεός...

Τὸ Ἰδιόμελον. Ἦχος πλ. β΄.

Ὅσιε Πάτερ, εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος τῶν κατορθωμάτων σου, δι᾽ ὧν ἐν τοῖς οὐρανοῖς εὗρες μισθὸν τῶν καμάτων σου. Τῶν δαιμόνων ὤλεσας τὰς φάλαγγας, τῶν Ἀγγέλων ἔφθασας τὰ τάγματα, ὧν τὸν βίον ἀμέμπτως ἐζήλωσας. Παῤῥησίαν ἔχων πρὸς Χριστὸν

τὸν Θεόν, εἰρήνην αἴτησαι ταῖς ψυχαῖς ἡμῶν.

Οἱ Κανόνες. Ὁ Κανὼν τοῦ ὁσίου πατρὸς ἡμῶν Νεοφύτου εἰς δ΄, καὶ ὁ Κανὼν τῆς ὁσίας Ξένης εἰς δ΄.

Ὁ Κανὼν τοῦ Ὁσίου, οὗ ἡ Ἀκροστιχίς·

Αἶνον ᾄδω σοι τῷ Σωτῆρι Χριστῷ μου. Ἰωάννου.

Ποίημα Ἰωάννου τοῦ Χρυσοστομίτου.

Ὠδὴ α΄.

Ἦχος πλ. δ΄. Ἁρματηλάτην Φαραώ.

Ἀστραποβόλοις ἀστραπαῖς τοῦ Πνεύματος, τὸν νοῦν μου φώτισον, παμβασιλεῦ Λόγε, καὶ τὴν γλῶτταν τράνωσον, χαριστηρίους αἴνους σοι, ὁλοψύχως προσάγειν, δι᾽ οὗ πικροῦ τε τὸν δοῦλόν σου, μόρου ἐλυτρώσω Φιλάνθρωπε.

Ἱερωτάτης ἡσυχίας Δέσποτα, πλεῖον ὁ δοῦλός σου, ἐπιποθῶν ἄνω, τῆς αὐτοῦ Ἐγκλείστρας τε, μικρὸν ἄλλο διώρυττεν, ἀλλ᾽ ὁ δαίμων τῷ σπέει, ἀφάτῳ φθόνῳ βαλλόμενος, ἔσπευδεν ὀλέσαι τὸν λάτριν σου.

Νοῦν ἡγεμόνα εἰληφὼς ὁ δοῦλός σου, Δέσποτα Κύριε, τὸν σὸν Σταυρὸν πόθῳ, ἀσφαλῶς λαβόμενος, τοῦ κόσμου ἐξελήλυθεν, τῇ Ἐγκλείστρᾳ δὲ ταύτῃ, αὐτόν τε φέρων ἀνέλυσεν, ὕμνους καὶ νηστείας προσάγειν σοι.

Θεοτοκίον.

Ὁ συνυπάρχων τῷ Πατρὶ καὶ Πνεύματι, καὶ συναΐδιος, μονογενὴς Λόγος, ἐκ σοῦ πεφανέρωται, ἐπὶ τῆς γῆς ὡς ἄνθρωπος, Θεοτόκε Μαρία, καὶ κόσμον ὅλον διέσωσεν, αἴνεσιν αὐτῷ ἀναπέμποντα.

Ὁ Κανὼν τῆς Ὁσίας.

Ἦχος πλ. δ΄. Ἆσμα ἀναπέμψωμεν λαοί.

Ξένον ὄντα πάσης ἀρετῆς, καὶ μακρυνθέντα πράξεσιν, ἀπὸ Θεοῦ ἀτόποις, οἰκείωσόν με τούτῳ, εὐχαῖς εὐπροσδέκτοις σου, Ξένη σεμνὴ ὁσία, σοῦ τὸν ξένον βίον εὐφημοῦντα.

Πῦρ σε ἀναφλέξαν νοητῶς, ὡς ὕλην εὐκατάπρηστον, τὴν κοσμικὴν ἀπάτην, καὶ σαρκικὸν μνηστῆρα, ἀρνήσασθαι ἔπεισε, γνώμῃ ἀνδρειοτάτῃ, καὶ Κυρίῳ ἁγνῶς μνηστευθῆναι.

Ξένην ἐννοήσασα ζωήν, ἐν οὐρανοῖς τὴν μένουσαν, καὶ μὴ παρερχομένην, τὴν κλῆσιν ὡς τὴν πρᾶξιν, ἠμείψω καὶ ἔδραμες, ἔλαφος ὡς διψῶσα, ἀθανάτου κατ᾽ ἴχνος μνηστῆρος.

Θεοτοκίον.

Ὕμνοις τὴν πανάχραντον πιστοί, Μαρίαν εὐφημήσωμεν, τὴν Θεομήτορα, τὴν κεχαριτωμένην, τὴν σκέπην τὴν ἔνθεον, τὸν εὔδιον λιμένα, τὴν τῶν πάντων πιστῶν σωτηρίαν.

Ὠδὴ γ΄.

Τοῦ Ὁσίου.

Ὁ στερεώσας κατ᾽ ἀρχάς.

Νομοθετήσας ἑαυτόν, μὴ ἐξιέναι τοῦ σπέους, ἀλλ᾽ ἀπρόϊτον ἐκ τούτου τε εἶναι, ὁ θεράπων σου Χριστέ, τετέλεκε κραυγάζων σοι· Ὅτι οὐκ ἔστι πλήν σου, ἅγιος μόνε φιλάνθρωπε.

Ἀνακαινίζων κατ᾽ ἀρχάς, τὴν ἀνωτάτω Ἐγκλείστραν, ὁ θεράπων σου ὑπέψαλλε Σῶτερ· Ὁ τὸ πρὶν τὸν οὐρανόν, ἐπ᾽ οὐδενὸς τὴν γαῖαν δέ, ταύτην κρεμάσας λόγῳ, οὕτω καὶ ταύτην στερέωσον.

Δοξολογίας ἱεράς, καὶ προσευχάς τε συντόνους, διορύττων τὴν Ἐγκλείστραν τὴν ἄνω, ὁ θεράπων σου Χριστέ, προσφέρων σοι ἐκραύγαζεν· Ἐν τῇ χειρί σου ταύτην, ὁ δοῦλός σου παρατίθημι.

Θεοτοκίον.

Ὡς ἀνωτέραν Χερουβίμ, καὶ ὑπερτέραν Ἀγγέλων, καὶ πρωτίστη τοῦ Δεσπότου ἐκλήθης, πρὸς τοῦ δούλου σου καὶ γάρ, ἐκ λίθου κατωθούμενος, Δέσποινα σῶσον· Πλήν σου οὐκ ἔστιν ἄλλη βοήθεια.

Τῆς Ὁσίας.

Ὁ στερεώσας λόγῳ τοὺς οὐρανούς.

Κατακρατήσας ἔρως ὁ θεϊκός, τῆς ἁγνῆς ψυχῆς σου, λήθην λαμβάνειν σε, τῶν τῆς ἀσκήσεως πόνων ἔπεισε, Σεμνὴ καὶ τῆς φύσεως.

Τοῦ ἀθανάτου μνηστῆρος καλλοναῖς, ἡδομένη κάλλη σαρκὸς ἐμάρανας, καὶ ὤφθης ὡραιοτάτη, θεῖον πρὸς νυμφῶνα σκηνώσασα.

Κεχρυσωμένας πτέρυγας ἀρετῶν, κτησαμένη ὕψος πρὸς οὐράνιον, ἐπέτασας Μακαρία, ὡς περιστερὰ ἀδιάφθορος.

Θεοτοκίον.

Ἡ φωτεινὴ νεφέλη τοῦ νοητοῦ, καὶ φαιδροῦ Ἡλίου τοῦ ἀνατείλαντος, ἐκ τῆς γαστρὸς σου Παρθένε, φώτισον τὰς ψυχὰς τῶν ὑμνούντων σε.

Κάθισμα.

Ἦχος α΄. Χορὸς ἀγγελικός.

Τὸ ξένον ἀληθῶς, καὶ φρικτὸν τοῦτο θαῦμα, φιλάνθρωπε Σωτήρ, ὃ σοφῶς ἀπειργάσω, ἐνδόξως εἰς τὸν δοῦλόν σου, θεϊκῇ προμηθείᾳ σου, πῶς ὑμνήσωμεν; ἐκ τοῦ κρημνοῦ γὰρ καὶ λίθου, τοῦτον ἔσωσας, παντουργικῇ σου δυνάμει, ὡς μόνος φιλάνθρωπος.

Ἕτερον.

Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.

Χαριστήριον αἶνον χρεωστικῶς, κατ᾽ αὐτὴν τὴν ἡμέραν Παμβασιλεῦ, Ξένης τῆς ὁσίας σου, ὁλοψύχως προσάγομεν, ὑπὲρ τοῦ σοῦ οἰκέτου, καὶ δούλου Πανάγαθε· ἐκ κρημνοῦ γὰρ καὶ λίθου, αὐτὸν ἠλευθέρωσας, σθένει δεξιᾶς σου, καὶ ῥοπῇ τοῦ ἐλέους σου· τὸν θῆρα κατέπληξας, ὡς μεγάλα κομπάζοντα, καὶ δεινὰ φρυαττόμενον. Δέσποτα Χριστὲ ὁ Θεός, καὶ νῦν τε καὶ πάντοτε συντήρει τὸν δοῦλόν σου, τῇ τοῦ Σταυροῦ σου, δυνάμει Πανύψιστε.

Δόξα... Τῆς Ὁσίας.

Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.

Τὸν δι᾽ οἶκτον ὀφθέντα ἐπὶ τῆς γῆς, ἀγαπήσασα Λόγον Θεοῦ Πατρός, αὐτῷ ἠκολούθησας, ὡς νυμφίῳ Πανόλβιε, καὶ φθαρτὸν νυμφίον, προθύμως κατέλιπες, καὶ ἐνεγκαμένην, καὶ πλοῦτον ἐπίκηρον· ὅθεν ἐπὶ ξένης, φερωνύμως βιοῦσα, τὰ πάθη ἐνέκρωσας, καὶ τῶν ζώντων ἀπείληφας, κληρουχίαν θεόπνευστε. Πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Καὶ νῦν... Θεοτοκίον.

Πειρασμοῖς πολυτρόποις περιπεσών, ἐξ ἐχθρῶν ἀοράτων καὶ ὁρατῶν, τῷ σάλῳ συνέχομαι, τῶν ἀμέτρων πταισμάτων μου· καὶ ὡς θερμῇ ἀντιλήψει, καὶ σκέπῃ μου Ἄχραντε, τῷ λιμένι προστρέχω, τῆς σῆς ἀγαθότητος· ὅθεν Παναγία, τὸν ἐκ σοῦ σαρκωθέντα, ἀσπόρως ἱκέτευε, ὑπὲρ πάντων τῶν δούλων σου, τῶν ἀπαύστως ὑμνούντων σε, Θεοτόκε πανάχραντε, πρεσβεύουσα αὐτῷ ἐκτενῶς, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς προσκυνοῦσιν ἀξίως, τὸν πανάγιον Τόκον σου.

Ὠδὴ δ΄.

Τοῦ Ὁσίου.

Σύ μου ἰσχύς, Κύριε.

Σύ μου Χριστέ, Κύριε κράζων ὁ δοῦλός σου, σὺ Θεός μου, σύ μου ἀγαλλίαμα, ὁ τοῦ δεινοῦ λίθου καὶ κρημνοῦ, σθένει θεικῷ σου, ἀρρήτως με λυτρωσάμενος· καὶ νῦν σὺν τῷ Προφήτῃ, κἀγὼ δή σοι κραυγάζω· Τῇ δυνάμει σου δόξα Φιλάνθρωπε.

Ὅλην ἐν σοί, Κύριε, θήσας ὁ δοῦλός σου, τὴν ἐλπίδα, τούτου τε ἀνέδραμε, δοξολογῶν αἴνῳ καὶ ὑμνῶν, ἐν τῷ τῆς Ἐγκλείστρας, ὑπαίθρῳ καὶ οἰκητήριον, καὶ νῦν ἄλλο συντόνως, ἀνορύσσων ἐβόα· Τῇ δυνάμει σου δόξα Φιλάνθρωπε.

Ἴδε Χριστέ, τὴν εὐανδρίαν τοῦ δούλου σου· ἴδε τούτου, βίον τὸν πανόλβιον, ὁ πονηρός, ἴδε καὶ βληθείς, βέλεσι τοῦ φθόνου, καὶ στέργειν ὅλως οὐκ ἔφερε, ἀλλ' ἔσπευδεν ὀλέσαι, ὀλεθρίῳ θανάτῳ, εἰ μὴ σθένει σου τοῦτον ἀπείργησας.

Θεοτοκίον.

Τὴν ταχινήν, τίς σου ἐξείποι βοήθειαν, ὦ παρθένε, Κόρη ἀπειρόγαμε, τὴν πρὸς τὸν σὸν δοῦλον εὐμενῆ· ἣ καὶ προσκληθεῖσα, πρὸς τούτου μόνον τῆς θλίψεως, ἐρρύσω φιλανθρώπως· ὃς κραυγάζει σοι πόθῳ· Τῇ δυνάμει σου δόξα πανύμνητε.

Τῆς Ὁσίας.

Ἐξ ὄρους κατασκίου.

Προῖκα τῷ Χριστῷ, προσῆξας τὴν ἁγνείαν, νέκρωσιν μελῶν, καὶ πόνους ἐγκρατείας, καὶ ἀντεδέξω οὐράνιον βασιλείαν, καὶ αἰωνίζουσαν ἀπόλαυσιν.

Βρέχουσα στρωμνήν, τοῖς δάκρυσιν Ὁσία, καὶ μετὰ σποδοῦ, ἐσθίουσα τὸν ἄρτον, τῆς παρακλήσεως ἔτυχες τῆς ἀγήρω, καὶ παραδείσου ἀπολαύσεως.

Τύπον σεαυτήν, καλῶν παρεχομένη, εἵλκυσας πολλάς, ψυχὰς εἰς σωτηρίαν, ἀπορραγείσας τοῦ κόσμου τῆς προσπαθείας, Ξένη θεόφρον ἀξιάγαστε.

Θεοτοκίον.

Χαίροις παρ' ἡμῶν, ἁγία Θεοτόκε· χαῖρε ἡ χαράν, κυήσασα τῷ κόσμῳ· χαῖρε ἡ μόνη ἀντίληψις τῶν ἀνθρώπων, εὐλογημένη Θεοτόκε ἁγνή.

Ὠδὴ ε΄.

Τοῦ Ὁσίου.

Ἵνα τί με ἀπώσω.

Ὡς τοῦ κόσμου τὴν πλάνην, καὶ τὴν ματαιότητα Σῶτερ ὁ δοῦλός σου, ἐννοήσας λάθρᾳ, καὶ γονέων καὶ φίλων καὶ ἄστεως, ἠκολούθησέν σοι, περιχαρῶς ἀναχωρήσας, εἰς τὸ σπήλαιον τοῦτο ἐχώρησε.

Σκηνωσάμενος Σῶτερ, εἰς τὸ ἱερώτατον ἄντρον ὁ δοῦλός σου, καὶ αὐτὸν ἐν τούτῳ, κατεγκλείσας διῆγεν ἀπρόϊτος, ἐπὶ πλείστοις χρόνοις, ἐγκαρτερῶν δοξολογῶν σε, ὡς αὐτοῦ ἀρωγόν τε καὶ πρύτανιν.

Ὡς οὖν ἔτη τε πλεῖστα, εἰς τὴν κατωτέραν Ἐγκλείστραν τετέλεκεν, ὁ πιστός σου λάτρις, ἐν εὐχαῖς καὶ νηστείαις προσμένων τε, καὶ ἑτέραν Λόγε, καταμονὴν εἰς κατοικίαν, ἀνορύξας ἀνῆλθεν εἰς δόξαν σου.

Θεοτοκίον.

Τὴν ταχεῖάν σου σκέπην, καὶ πανοξυτάτην ῥοπήν σου θεόνυμφε, ὁ θερμός σου λάτρις, περιλάμψασαν τοῦτον ὡς ᾔσθετο, ἐπικλήσει μόνῃ, ὑφ' ἡδονῆς σοι ἀνακράζει· Ἀνυμνῶ σου Παρθένε τὸ ἔλεος.

Τῆς Ὁσίας.

Τὸν ζόφον τῆς ψυχῆς μου.

Ὡς δάμαλις ποθοῦσα, τοῦ Ποιμένος τὸ θεῖον κάλλος ἐκραύγαζες· Ποῦ νῦν, ποιμαίνεις Νυμφίε; ποῦ κοιτάζῃ εἰπέ μοι; ἐπιποθῶ σου ἰδεῖν, τὴν ὑπερβάλλουσαν θέαν, καὶ φλέγομαι πάντοτε.

Ἐράσμιον τὸ κάλλος, τὸ ἐμὸν βοᾷ ὁ Νυμφίος, ζητοῦσα Σεμνή, ταῖς ἀρεταῖς λαμπρυνθεῖσα, εἰς οὐρανοὺς με σκόπει· ἐκεῖ ποιμαίνω ἐγώ, καὶ τὰ ἐμὰ προσκαλοῦμαι, ἑκάστοτε θρέμματα.

Τρυγὼν ὡραιοτάτη, χελιδὼν λαμπροτάτη, καὶ νοητὴ ἀηδών, τῶν ἰξευτῶν διαδρᾶσα, τῶν νοητῶν παγίδων, ἐδείχθης Ξένη σεμνή, καὶ ἐναπόθε-τον κάλλος, Χριστοῦ ἀξιάγαστε.

Θεοτοκίον.

Ἀμήτορα τῶν ἄνω, ἐπ' ἐσχάτων τοῖς κάτω τίκτεις ἀπάτορα, οὐσιωθέντα Παρθένε, τὸ ἡμέτερον ὅλον, δι' εὐσπλαγχνίαν πολλήν· ὃν ἐκδυσώπει σωθῆναι, φθορᾶς τοὺς ὑμνοῦντάς σε.

Ὠδὴ ς΄.

Τοῦ Ὁσίου.

Ἱλάσθητί μοι Σωτήρ.

Ἡ ἄνωθεν παναλκής, Θεοῦ τοῦ Λόγου καὶ Δύναμις, ἐρρύσατο ἐκ κρημνοῦ, τὸν ταύτης θεράποντα, δεινοῦ τε κυλίσματος, καὶ τμηθέντος λίθου, μιαιφόνου ὡς φιλάγαθος.

Ῥυσάμενος ὁ Χριστός, τὸν τούτου λάτριν τοῦ πτώματος, ἐκραύγαζε πρὸς αὐτόν· Ὑμνῶ καὶ δοξάζω σε, καὶ δόξαν ἐκπέμπειν σοι, οὐδαμῶς ὀκνήσω, ὁ Θεὸς τῆς σωτηρίας μου.

Ἰδόντος τοῦ πονηροῦ, τοὺς πόνους οὕσπερ ἀνέτλειεν, ὁ δοῦλός σου Βασιλεῦ, φθονήσας ἐξήρτειεν, ὀλέθριον θάνατον, κατ᾽ αὐτοῦ τε Σῶτερ, ἀλλ᾽ εἰργήθη τῇ δυνάμει σου.

Θεοτοκίον.

Χωρίον χωρητικόν, Θεοῦ τοῦ Λόγου ἐγένετο, ἡ μήτρα σου ἀληθῶς, πανάμωμε Δέσποινα, καὶ χώρα εὐρύχωρος, ὡς χωρήσασά σε, τὸν ἀχώρητον καὶ Κύριον.

Τῆς Ὁσίας.

Ἱλάσθητί μοι Σωτήρ.

Τὴν ξένην σου βιοτήν, καὶ ὑπὲρ ἄνθρωπον ἄσκησιν, δοξάζων ὁ διὰ σέ, ξενιτεύσας ἔνδοξε, σημείοις καὶ τέρασι, παραδόξοις ὄντως, σὲ Ὁσία κατεκόσμησε.

Τὸν ξενωθέντα μακράν, τῶν ἐντολῶν τοῦ Θεοῦ ἡμῶν, οἰκείωσόν με ταῖς σαῖς, Ὁσία δεήσεσι, καὶ ξένον με ποίησον, τῆς δεινῆς γεέννης, καὶ παθῶν τῶν συνεχόντων με.

Τῷ κύκλῳ τῶν ἀρετῶν, καταστεφθεῖσα ἀνέδραμες, πρὸς ὃν ἐπόθεις Χριστόν, κύκλου δι᾽ ἀστέρων σε, ὑπὲρ νοῦν μηνύοντος, τοῖς ἐγγὺς καὶ πόρρω, ξενοτρόπως Ξένη ἔνδοξε.

Θεοτοκίον.

Ὁ νώτοις χερουβικοῖς ἀπεριγράπτως καθήμενος, περιγραπτὸς ἐν τῇ σῇ, κοιλίᾳ ἐνῴκησε, σαρκὶ οὐ Θεότητι, καὶ ἐκ σοῦ προῆλθε, διασῴζων τὸ ἀνθρώπινον.

Κοντάκιον.

Ἦχος γ΄. Ἡ Παρθένος σήμερον.

Ὁ Χριστὸς τὴν σήμερον, τῇ ἑαυτοῦ προμηθείᾳ, τὸν αὐτοῦ θεράποντα, ἐκ τοῦ κρημνοῦ καὶ τοῦ λίθου, ἔσωσεν, ὡς πανοικτίρμων τῆς τούτων βλάβης· ὄντως γάρ, τοὺς φοβουμένους αὐτὸν δοξάζει, φιλανθρώπως καταστέφων, ὡς φύλαξ τούτων, καὶ ἀρωγὸς ἀληθής.

Ὁ Οἶκος.

Ὥσπερ πάλαι Θεός, ἄνωθεν ξένοις γέρασι, τοὺς αὐτοῦ ὑμνητὰς ἔστεψεν, νέους Παῖδας μὲν καμίνου φλογὸς σώσας φιλανθρώπως, καὶ ἀτιθάσους θῆρας ἐφίμωσε, λυτρούμενος δίκαιον μόρου τῆς τούτων, καὶ θρήνων ἄτρωτον παῖδα δὲ τὸν Δαυῒδ διεσώσατο, Σαοὺλ γνώμης τῆς μιαιφόνου, κἀνταῦθα οὕτω καὶ τανῦν, εἰργάσατο παραδόξως, ὁ τὸν τούτου οἰκέτην ἐκ θανάτου ῥυσάμενος, ὡς φύλαξ τούτου, καὶ ἀρωγὸς ἀληθής.

Συναξάριον.

Τῇ ΚΔ΄ τοῦ αὐτοῦ μηνός, Ἀνάμνησις τῆς Θεοσημείας, ἤτοι τῆς πρὸς τὸν ὅσιον καὶ θεοφόρον πατέρα ἡμῶν Νεόφυτον πρεσβύτερον, μοναχὸν καὶ ἔγκλειστον, γενομένης παραδόξως θείας ἐπικουρίας καὶ ἀώρου θανάτου ἀπαλλαγῆς ἐκ λίθου καὶ κρημνοῦ, ἣν ἐσκαιώρησεν μὲν ὁ παμπόνηρος δαίμων, διεσκέδασε δὲ ὁ πανελεήμων Θεός, ὁ ζωῆς ἔχων καὶ θανάτου τὴν ἐξουσίαν.

Στίχοι.

Ὤετο ἐχθρὸς βαλεῖν σε καιρίως λίθῳ,
Χριστὸς δὲ ζωῆς ἡ πέτρα σώζει, Πάτερ.

Εἰκάδι ἐκ κρημνοῦ Νεόφυτος ἐρρύσθη τετάρτῃ.

Νεοφύτου πρεσβυτέρου μοναχοῦ καὶ ἐγκλείστου, Ὑπόμνημα εἰς τὴν πρὸς αὐτὸν γενομένην παραδόξως θείαν ἐπικουρίαν, καί ἀώρου θανάτου ἀπαλλαγὴν ἐκ λίθου καὶ κρημνοῦ, ἣν ἐσκαιώρησεν μὲν ὁ παμπόνηρος δαίμων, διεσκέδασε δὲ ὁ πανελεήμων Θεός, ὁ ζωῆς ἔχων καὶ θανάτου τὴν ἐξουσίαν.

– Εὐλόγησον, πάτερ.

Ξένον ὄντως, ὡς ἀληθῶς, ἀλλὰ καὶ πάνυ ξένον. Ξένον καὶ ἱκανὸν τοῦ ξενίζειν ἀκοὰς καὶ ψυχὰς φιλοθέων καὶ ἐχεφρόνων ἀνδρῶν, τὸ περὶ ἐμὲ τοῦτο γεγονὸς ξένον θέαμα, ἐν τῇ ἡμέρᾳ ταύτῃ τῆς πανοσίου Ξένης· ὃ καὶ λήθης βυθοῖς ἢ διὰ σιωπῆς παραπέμψαι οὐ θέμις ἡγησάμην, ἵνα μὴ ἀγνώμων περὶ τὸν εὐεργέτην ἀναφανῶ «καὶ βραδὺς τῇ καρδίᾳ» (Λουκ. κδ΄ 25), ὃς καὶ πικροτάτου θανάτου παραδόξως με ἐῤῥύσατο· ἀλλὰ καὶ ἐπὶ μνήμης παρακατέχειν ἐτησίως τὴν παροῦσαν ἡμέραν, κἀμοῦ παρελθόντος, ἐντέλλομαι καὶ τὸ παρὸν ὑπόμνημα ἐπὶ μέσεως ἀναγινώσκειν πανευλαβῶς εἰς δόξαν Θεοῦ· λειτουργίαν τε περὶ τούτου καὶ προσφορὰν προσφέρειν τῷ πανελεήμονι Θεῷ.

Ἀλλὰ μηδεὶς ἐξ ὑμῶν οἰέσθω, παρακαλῶ, περιττῶς καὶ ἀλόγως ἢ χάριν φιλοτιμίας τινὸς τὸ ὑπόμνημα τοῦτο γεγραφηκέναι ἡμᾶς, ἀλλὰ καὶ πάνυ χρεωστικῶς καὶ μάλα εὐλογωτάτως ὁμοῦ καὶ δικαίως, ὅπως καὶ Θεὸς ἐντεῦθεν δοξάζηται ἀξιοχρέως καὶ οἱ βουλόμενοι ὠφελοῦνται τῶν συνετῶν. Τοῖς γὰρ εὖ πεπονθόσι εὐγνωμοσύνην καὶ εὐχαριστίαν ἀπαιτεῖ Θεός, καὶ τοῦτο καλῶς ὁ θεῖος Δαυῒδ ἐπιστάμενος πρὸς τὴν ἰδίαν ψυχὴν ἔλεγεν· «Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον καὶ μὴ ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις αὐτοῦ» (Ψαλμ. ρβ΄ 2), καὶ τὰ ἑξῆς. Καὶ ὁ Κύριος ἡμῶν τοὺς δέκα ἐκείνους λεπροὺς ἀποκαθάρας λόγῳ τῆς λέπρας, φαίνεται τοὺς μὲν ἐννέα καταμεμφόμενος ὡς ἀγνώμονας, τὸν δὲ ἕνα ἐκείνων, τὸν Σαμαρείτην καὶ ἀλλογενῆ, προσεπῄνεσεν ὡς εὐγνώμονα, διὰ τὸ ἐπιστρέψαι αὐτὸν καὶ δοῦναι δόξαν τῷ Θεῷ. Μᾶλλον δὲ καὶ τούτων, ἀρχαιότερόν τι ἔχω λέξαι σαφῶς πρὸς ὑμᾶς. Ὁπηνίκα γὰρ ἐλυτρώσατο Κύριος δουλείας Αἰγυπτίων τὸ γένος τῶν Ἑβραίων, προσέταξε τῷ Μωϋσῇ λέγων· «Ἁγίασόν μοι πᾶν πρωτότοκον πρωτογενές, διανοῖγον μήτραν ἐν τοῖς υἱοῖς Ἰσραήλ» (Ἔξοδ. ιγ΄ 2). Ἐπορεύθη δὲ Μωϋσῆς καὶ συνήγαγε πάντα τὸν λαὸν καὶ εἶπε· «Μνημονεύετε τὴν ἡμέραν ταύτην, ἐν ᾗ ἐξήλθετε ἐκ γῆς Αἰγύπτου» (Ἔξοδ. ιγ΄ 3), καὶ τὰ ἑξῆς. Καὶ οὐχ ἁπλῶς μνήμην ἀπῄτει μόνην τῆς τοιαύτης ἐλευθερίας καὶ ἐξόδου, ἀλλὰ καὶ ὀκταήμερον περιτομὴν τούτοις νομοθετεῖ καὶ ἀφιέρωσιν πρωτοτόκων τῷ Θεῷ, ἀνθρώπων τε καὶ κτηνῶν. Τοῦτο μέν, ἵνα μὴ διὰ τὸ εὐληθάργητον ἐπιλάθωνται τῶν προσταχθέντων αὐτοῖς, τοῦτο δέ, ἵνα καὶ υἱὸς ἐκ πατρὸς ἐκμανθάνῃ ῥᾳδίως τὸ αἴτιον τῆς ἐξ Αἰγύπτου καὶ δουλείας αὐτῶν ἀπαλλαγῆς. Ὕστερον δὲ καὶ διά τινος κρασπέδου καὶ φυλακτηρίου ἠθέλησε Κύριος αὐτοὺς μνημονεύειν τῶν θείων καὶ μωσαϊκῶν θαυμάτων ἐκείνων· καὶ κράσπεδον μὲν εἶναι, φασίν, ὑακίνθινόν τι ὕφασμα γίνεσθαι λεπτὸν ἐν τοῖς ἱματίοις τῶν ἱερέων, φυλακτήριον δὲ βιβλίον μικρὸν γεγραμμένον συνοπτικῶς τὴν ἐξ Αἰγύπτου καὶ δουλείας αὐτῶν λέγον ἀπαλλαγήν, τήν τε διάβασιν τῆς Ἐρυθρᾶς θαλάσσης καὶ τὰ λοιπὰ μεγαλεῖα τοῦ Θεοῦ· καὶ ἐπὶ χεῖρας τὸ τοιοῦτον βιβλίον οἱ ἀρχιερεῖς παρακατέχειν ἀεί, πρὸς διδαχὴν καὶ ἀνάμνησιν τῶν θείων εὐεργεσιῶν. Ἐκεῖνοι δέ, λήθης βυθοῖς καταδύσαντες πάντα, ἐπλάτυναν τὰ φυλακτήρια καὶ ἐμεγάλυνον τὰ κράσπεδα τῶν ἱματίων αὐτῶν, οὓς καὶ κατονειδίζων ὁ Κύριος ἡμῶν, ἔλεγεν ὅτι «πλατύνουσι τὰ φυλακτήρια αὐτῶν καὶ μεγαλύνουσι τὰ κράσπεδα τῶν ἱματίων αὐτῶν» (Ματθ. κγ΄ 5), καὶ τὰ ἑξῆς, μήτε περὶ τῆς ἑαυτῶν μήτε περὶ τῆς τοῦ λαοῦ σωτηρίας ἐπιμελούμενοι.

Ἐκ τούτων οὖν πάντων μυούμεθα ὅτι ἀπαιτεῖ Θεὸς ἡμᾶς μνημονεύειν τῶν παρ᾽ αὐτοῦ εἰς ἡμᾶς γινομένων καλῶν, οὐχ ὅτι αὐτὸς τοῦτο προσδέεται, ἀλλὰ πάντως διὰ τὴν ἡμῶν σωτηρίαν τοῦτο ἡμᾶς ἀπαιτεῖ. Οὐ γὰρ δήπου ἡ ἄβυσσος χρείαν ἔχει προσθήκης ὑδάτων, ἐκχέει δὲ μᾶλλον ποταμοὺς καὶ πηγὰς καὶ λίμνας ὑδάτων πολλῶν καὶ ἀμείωτος ἐναπομένει. Ἐπεὶ οὖν ἡ ἄβυσσος μεταληπτικὴ οὐ πέφυκεν εἶναι, ἀλλὰ μεταδοτικὴ μᾶλλον, τί ἄν τις εἴποι λοιπὸν περὶ τῆς τῶν ἀβύσσων ἀβύσσου θείας φύσεως καὶ παντουργοῦ, ἐξ ἧς ἀνάβλυσις καὶ μετάδοσις ἐκχέεται ποταμηδὸν καὶ ὁδεύει πρὸς πᾶσαν κτίσιν αὐτῆς;

Καὶ ἀπόχρη μὲν ταῦτα πρὸς ταῦτα. Ἡμεῖς δὲ χρεωστικῶς κατὰ τὸ ἡμῖν ἐγχωροῦν καὶ θεοσδότως ἀναμνήσωμεν, καὶ εἰς μέσον εἰσάξωμεν τὸ εἰς ἡμᾶς γεγονὸς ξένον ἄκουσμα καὶ θέαμα, καὶ ἀνυμνήσωμεν Θεοῦ ἀκαταμάχητον καὶ ταχυτάτην ἀντίληψιν. Ἀλλὰ δίκαιον ἡγοῦμαι καθ᾽ εἱρμὸν ἐξειπεῖν καὶ ἀκολούθως τὸ διήγημα καὶ καταντῆσαι πρὸς τὸ προκείμενον, καὶ μὴ φύρδην συγκαταμῖξαι καὶ καταχῶσαι καὶ ἀφανίσαι τοσαύτην εἰς ἐμὲ γενομένην Θεοῦ πρόνοιαν.

Ἐπειδὴ μῆκος χρόνου ζωῆς παρετάθη μοι ἐν τῇ Ἐγκλείστρᾳ ταύτῃ, καὶ ἐγγύς που τεσσαράκοντα ἐτῶν ἐν αὐτῇ μοι ἐγένετο ἡ ἀμελὴς παροικία, καὶ πολλῆς τινος εὐλόγου τε καὶ ἀνευλόγου καταδρομῆς λαοῦ ἐνοχλούσης με ἀνενδότως, ἔδοξεν, οἶμαι, πρῶτον τῷ Θεῷ, εἶτα κἀμοί, ἵνα πρὸς τὰ ὑπερῷα τῆς Ἐγκλείστρας καὶ τὰ τοῦ κρημνοῦ ἀνώτερα μέρη σὺν Θεῷ ἀνέλθω· κἀκεῖ μοι ἑτέραν ὑποδιορύξω μικρὰν ὀπήν, τοῖς πολλοῖς ἀνεπίβατον, καὶ ἐν αὐτῇ με ἀδειάζειν ὅτε καὶ βούλομαι, καὶ τῆς πολλῆς καὶ ἀκαίρου τῶν πολλῶν ἀποδιδράσκειν ὀχλήσεως, καὶ τῆς φίλης ἀναχωρήσεως καὶ θεογνώστου ἡσυχίας μὴ ἐκπεπτωκέναι κατὰ μικρόν. Ἀλλὰ πάλιν τὸ τοῦ κρημνοῦ δυσανάβατον τε καὶ σαθρότατον περιεκλόνει μου τὴν καρδίαν καὶ ἀπετείχιζεν εἰς τοὐπίσω· ἀλλὰ τὸν τοιοῦτον κλόνον

ἐνίκα πάλιν καὶ ὑπερενίκα ἑτέρα τις ἀγαθὴ προσδοκία Θεοῦ βοηθείας, καὶ ἡσυχίας πόθος μετ' ἐλπίδος χρηστῆς.

Ἔνθεν καὶ πᾶσαν δειλίαν καὶ φόβον σὺν Θεῷ διακρουσάμενος, ἐμνημονεύσαμεν καὶ τοῦ φάσκοντος, ὅτι ὁ μὴ κινδύνων κατατολμῶν οὐ τυγχάνει τῶν ἐφετῶν. Ὅθεν καὶ αὐτὸς κινδύνων κατατολμήσας καὶ πρὸς Θεὸν ἀναρτήσας μου τὰς ἐλπίδας τῆς σωτηρίας, ἐπεχείρουν τὰ δόξαντα. Καὶ δὴ κλίμακος μεγάλης ὑπὸ τῶν ἀδελφῶν ἐνεχθείσης, ἀνήλθομεν μετὰ Σταυροῦ καὶ Εὐαγγελίου καὶ στολῆς ἱερατικῆς καὶ θυμιατοῦ καὶ λαμπάδος. Στάσεως δὲ ἢ πατήσεως τόπον μὴ εὑρίσκοντες, ἔστησαν οἱ μὲν ἐν τῇ κλίμακι, οἱ δὲ μετά τινος μηχανῆς ἔστημεν ἀνωτέρω. Καὶ τὴν συνήθη εὐχὴν ἐκτελέσαντες καὶ ἀπόστολον μετ' εὐαγγελίου ὑπαναγνώσαντες, καὶ ἀπολύσαντες, εὐθέως κατήλθομεν. Καὶ ἔκτοτε καθ' ἡμέραν λοιπὸν ἕωθεν, μετὰ τὰς ἑωθινὰς δοξολογίας καὶ τὴν ἀπόλυσιν, πάλιν ἱκέτευον κατὰ μόνας τὴν θείαν εὐμένειαν ἐκτενῶς:

Δέσποτα, λέγων, Δέσποτα καὶ Κύριε τοῦ ἐλέους, ὁ πάσης ὁρατῆς τε καὶ ἀοράτου κτίσεως δημιουργὸς καὶ σωτήρ, ὁ διατείνας τὸν οὐρανὸν ὡσεὶ δέρριν καὶ ὡσεὶ καμάραν αὐτὸν ἐπιστήσας ἐπ' οὐδενὸς καὶ θεμελιώσας τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς καὶ ἑδράσας αὐτὴν ἐπὶ τῶν ὑδάτων καὶ περιτειχίσας τὴν θάλασσαν ψάμμῳ καὶ περιθέμενος αὐτῇ κλεῖθρα καὶ πύλας, ὅριον, ὃ οὐ παρελεύσεται· ὃν τρέμει, ὃν δουλεύει, ὃν ὑπείκει λογική τε καὶ ἄλογος ἅπασα κτίσις, αὐτὸς οὖν, Κύριέ μου, Κύριε, καὶ τοῦτό μου τὸ ἐπιχείρημα εὐδόκησον ἀσφαλῶς ἐκτελέσαι, εἰς σήν, Δέσποτα, δόξαν καὶ σωτηρίαν τῆς ἐμῆς ταπεινότητος, ὡς καὶ ἄλλα ἐν τῷδε τῷ τόπῳ πολλὰ καὶ πανάπειρα τῇ σῇ εὐδοκίᾳ καὶ συνεργείᾳ ἀσφαλῶς ἐγενήθησαν, καὶ μή με, Δέσποτα, συγχωρήσῃς σαθροτάτου παρανάλωμα ἀναφανῆναι κρημνοῦ, καὶ ἐχθρῶν ἀοράτων καὶ ὁρωμένων ἐπίχαρμα ὀφθῆναι. Εὐδόκησον δὲ μᾶλλον κἀκεῖνο γενέσθαι οἰκητήριον τοῦ παναγίου σου Πνεύματος, «πύργος ἰσχύος ἀπὸ προσώπου ἐχθροῦ» (Ψαλμ. ξ΄ 4), πρόξενόν τε σωτηρίας ἐμῆς τε καὶ ἑτέρων τινῶν βουλομένων ψυχῶν· ὅτι σὺ εἶ καὶ σωτὴρ καὶ πατὴρ καὶ Θεὸς πάντων ἡμῶν καὶ ὡς ἀγαθὸς καὶ φιλάνθρωπος, πάντων ἀνθρώπων θέλων τὴν σωτηρίαν, καὶ σοὶ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Καί, μετὰ τὴν εὐχήν, ἀσπαζόμενος τὸν τίμιον Σταυρὸν καὶ τὰς ἁγίας εἰκόνας, καὶ τὸ δεσποτικὸν σημεῖον θωρακιζόμενος ἐξηρχόμην, καί, τὸ θυρίδιον κεκλεικὼς τῆς Ἐγκλείστρας, πεποιθὼς ἀνηρχόμην λέγων· «Εἰσάκουσον, ὁ Θεός, τῆς δεήσεώς μου, πρόσχες τῇ προσευχῇ μου. Ἀπὸ τῶν περάτων τῆς γῆς πρὸς σὲ ἐκέκραξα. Ἐν τῷ ἀκηδιᾶσαι τὴν καρδίαν μου· ἐν πέτρᾳ ὕψωσάς με, ὡδήγησάς με, ὅτι ἐγενήθης ἐλπίς μου, πύργος ἰσχύος ἀπὸ προσώπου ἐχθροῦ, παροικήσω ἐν τῷ σκηνώματί σου εἰς τοὺς αἰῶνας, σκεπασθήσομαι ἐν τῇ σκέπῃ τῶν πτερύγων σου, ὅτι σύ, ὁ Θεός, εἰσήκουσας τῶν εὐχῶν μου, ἔδωκας κληρονομίαν τοῖς φοβουμένοις τὸ ὄνομά σου» (Ψαλμ. ξ΄ 2-6), καὶ τὰ ἑξῆς τοῦ ψαλμοῦ. Καί, ἀνερχόμενος καὶ λαξεύειν ἀρχόμενος, ἑτέρωθι μὲν διώρυττον ἔγωγε, ἑτέρωθι δὲ ὁ κρημνὸς ἔνθεν καὶ ἔνθεν διασπαράττων κατέπιπτε, κἀγὼ ὑποψιθυρίζων πρὸς Κύριον ἔλεγον· «Ὁ στερεώσας κατ' ἀρχὰς τοὺς οὐρανοὺς ἐν συνέσει καὶ τὴν γῆν ἐπὶ ὑδάτων ἑδράσας» (Ψαλμ. ρλε΄ 5-6), αὐτὸς οὖν, Κύριε, καὶ τοῦτο στερέωσον τὸ οἴκημα. Καὶ πάλιν ἔλεγον· οὐρανίας ἁψῖδος ὀροφουργὲ Κύριε, καὶ τῆς Ἐκκλησίας δομῆτορ, αὐτὸς Δέσποτα, καὶ τοῦτο τὸ οἴκημα στερέωσον. Καί, τούτοις προστιθέμενος, πάλιν ἔλεγον· Ἀκήκοα, Κύριε, τοῦ μελῳδοῦ σου φάσκοντος, ὅτι «Ὁ κατοικῶν ἐν βοηθείᾳ τοῦ Ὑψίστου, ἐν σκέπῃ τῇ αὐτοῦ αὐλισθήσεται» (Ψαλμ. ϟ΄ 1), ἀντίληψίν τε καὶ καταφυγὴν τὴν σὴν κεκτημένος εὐμένειαν, «Οὐ φοβεῖται ἀπὸ φόβου νυκτερινοῦ, οὐδὲ ἀπὸ βέλους πετομένου ἡμέρας, οὐδὲ ἀπὸ συμπτώματος καὶ δαιμονίου μεσημβρινοῦ» (Ψαλμ. ϟ΄ 5-6). Ἐπεὶ οὖν κἀγώ, Κύριε, ὁ ταπεινὸς καὶ ἀνάξιος, διὰ τῆς σῆς προνοίας τε καὶ βοηθείας, ἐνθάδε οἴκησα καὶ οἰκῶ, κἀμοὶ εὐδόκησον γενέσθαι καταφυγὴ καὶ σκέπη καὶ βοήθεια, ὅπως ῥυσθήσομαι ἐκ παγίδος δαιμόνων θηρευτῶν καὶ σκεπασθῶ ἐν τῇ σκέπῃ τῶν πτερύγων σου, ἀπὸ συμπτώματος καὶ δαιμονίου μεσημβρινοῦ, καὶ τοῖς ἁγίοις Ἀγγέλοις σου ἔντειλαι τοῦ διαφυλάξαι με τῇ χάριτί σου. Ναί, Κύριε, γενηθήτω μοι οὕτως, ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας. Ἀμήν.

Ἔλεγον ταῦτα, καὶ τὸν κρημνὸν περιέσκαπτον, ἔστιν ὅτε καὶ σιδήρου χωρὶς διὰ τὸ χαῦνον αὐτοῦ. Εἶχε δὲ καὶ ἔν τισι τόποις σκληρὸν καὶ διὰ σιδήρου δυσόρυκτον, τὰ δὲ ἐξώτερα τοῦ κρημνοῦ μέρη αὐτομάτως κατέπιπτον, ὡς μηδὲ τολμᾶν τινας προσεγγίσαι τῷ τόπῳ. Ἀλλὰ καὶ οἱ ἀδελφοί, κάτωθεν ἀπὸ μακρόθεν τὴν πολλὴν τῶν λίθων κατάπτωσιν καθορῶντες, φόβῳ συνείχοντο οὐ μετρίῳ, τὸ μὲν ὑπὲρ ἐμοῦ, τὸ δὲ καὶ ὑπὲρ τῶν κάτωθεν οἰκημάτων μήπως παραβλαβῶσι. Ὁ δὲ Θεὸς καὶ ταῦτα κἀμὲ τῷ ἐλέει αὐτοῦ διαφυλάξας, ἐτελειώθη τὸ ἔργον, οἰκοδομήθη καλῶς, κατεκράτησε τὰ σαθρὰ καὶ ἐξώτερα τοῦ κρημνοῦ μέρη ὁ τοῖχος, τὰ δὲ ἐνδότερα διὰ χαλίκων καὶ χρισμάτων καὶ πολλῆς ἀκριβείας μετὰ Θεὸν κατεκράτησα ἐγώ. Ἔστιν ὅτε καὶ πάλιν κατέσπα, καὶ ἀνώρθουν τοῦτο κατὰ μικρόν, ἄχρις οὗ Θεοῦ συνεργείᾳ καὶ χάριτι τετέλεσται· ὡς εἰκὸς λέγειν τοῖς καθορῶσιν αὐτό, «Ὡς ἀγαπητὰ τὰ σκηνώματά σου, Κύριε τῶν δυνάμεων» (Ψαλμ. πγ΄ 2).

Ἐπεὶ δὲ τὸ καλὸν οὐ καλόν, ὁπότ' ἄν τι ἐλλιπῶς ἔχῃ τῶν ἀναγκαίων, μέχρι τούτου στέργειν οὐκ ἠνεσχόμην. Ἴστε γὰρ πάντες ὃ λέγειν ἐπείγομαι, ἀλλὰ κἀγὼ πείρᾳ μεμάθηκα τοῦτο, ὅτι κἂν ἡμέρας τινὰς ἄσιτός τις συνηθῇ παρελθεῖν, καὶ ἡ τῆς γαστρὸς

ἔξοδος ἐντεῦθεν κατασχεθῇ, ἀμήχανον τοῦ μὴ ἐνοχλεῖσθαι ἅπαξ, δὶς καὶ τρὶς τῆς ἡμέρας διὰ κένωσιν ὕδατος λαχανώδους· καὶ διενοούμην δυσχερὲς εἶναι, δι' αὐτὸ τοῦτο καὶ μόνον, τοσαύτης δυσκολίας κατάβασιν, καταβαίνειν τινὰ ἐν τῷ κάτω παρακελλίῳ, καὶ ἤθελον ἐπάνω καὶ περὶ τούτου βραχύτατόν τινα ποιῆσαι οἰκονομίαν. Ἀλλὰ ταύτην πλησίον τῆς νέας κέλλης γενέσθαι οὐκ ἠνεσχόμην, τὴν ὑποκάτωθεν εὐλαβούμενος Ἐκκλησίαν καὶ τὴν ἁγίαν Ἐγκλείστραν. Καὶ πάλιν ἐπρόκειτό μοι βίᾳ ἑτέρᾳ τοῦ πολὺν διακόψαι κρημνὸν μέχρι καὶ τοῦ νοτίου μέρους τὰ ἴσα τῆς κυπαρίσσου, καὶ ποιῆσαι τρίβον τινὰ μικρὰν καὶ μακράν· καὶ ἡ δυσκολία πάλιν πολλὴ καὶ μεγάλη παρῆν, διὰ τὸ κάτωθεν μὲν φοβερὸν ἦν καὶ μόνον τὸ ἐντρανίσαι τὸ βάθος, ἄνωθεν δὲ διὰ τὸ σαθρότατον τοῦ κρημνοῦ, πλεῖον τὸ θάμβος παρῆν.

Ἀλλὰ πείθει ἔρως πολλάκις τὸν ἐραστὴν καὶ φόβου καὶ κινδύνων καταφρονεῖν, καὶ τοῦ ἐρωμένου ἐπιχειρεῖν· ὅπερ τάχα πέπονθα καὶ αὐτός, χρηστὰς κολπωσάμενος ἐλπίδας πρὸς Θεόν, ὃν καὶ πάλιν μετ' ἐκτενοῦς ἱκεσίας εἰς βοήθειαν κεκληκώς, κατετόλμουν τοῦ ἐφετοῦ· «Κύριος, λέγων, φωτισμός μου καὶ σωτήρ μου· τίνα φοβηθήσομαι; Κύριος ὑπερασπιστὴς τῆς ζωῆς μου· ἀπὸ τίνος δειλιάσω;» (Ψαλμ. κς΄ 1), καὶ τὰ ἑξῆς. Τόν τε Σταυρὸν τὸν τίμιον τοῦ Χριστοῦ καὶ τὴν ἄχραντον αὐτοῦ Μητέρα εἰς βοήθειαν προσκαλούμενοι, κατετολμοῦμεν τοῦ ἔργου θαρρούντως. Καὶ δὴ μετὰ σκέψεως καὶ πολλῆς ἀκριβείας καὶ βοηθείας Θεοῦ, δι' ὀλίγων τινῶν ἡμερῶν τὰ ἐπίφοβα πάντα καὶ πολλῆς γέμοντα δυσκολίας ἀκινδύνως σὺν Θεῷ λελαξευκότες, παρήλθομεν.

Καὶ ὅτε πρὸς τοῦ τόπου τέλος ἤδη πεφθάκαμεν, ἐν ᾧ οὐδενὸς κινδύνου καθωρᾶτο ὑπόνοια, λαλητάς τε καὶ ἀλαλήτους ἐκ πολλῆς θυμηδίας ἀνεπέμπομεν δοξολογίας καὶ εὐχαριστίας τῷ Θεῷ. Τότε λοιπόν, κατὰ θείαν πάντως συγχώρησιν, συνάντημά τι δεινοτάτου συμπτώματος καὶ δαιμονίου μεσημβρινοῦ συνήντησέ μοι. Ὥρα ἦν ὡσεὶ ἕκτη καὶ ἡμέρα Παρασκευή, ἐν ᾗ με περιέσχον, φεῦ!, παγίδες θανάτου, ὡς ἐξεῖπε Δαυΐδ, καὶ πύλαι τελευτῆς περιεκύκλωσάν με ταχέως· καὶ ἐν τῷ θλίβεσθαί με ἐπεκαλεσάμην τὸν Κύριον καὶ πρὸς τὸν Θεόν μου ἐκέκραξα, καὶ «εἰ μὴ ταχέως προφθάσας ἐρρύσατό με, παρὰ βραχὺ ἂν παρῴκησε τῷ ᾅδῃ ἡ ψυχή μου» (Ψαλμ. ϛγ΄ 17).

Καθημένου γάρ μου καὶ περισκάπτοντος μετὰ σκαπάνης τινός, ἐξαίφνης ἐκ τοῦ δεξιοῦ μου μέρους ἐτμήθη λίθος, βραχώδης τις καὶ σκληρὸς καὶ τῷ βάρει μολύβδου μηδὲν ἀποδέων, ὀργύαν μεγάλην ἔχων τὸ μῆκος, ἀνδροαγκασκελίσματος πλεῖον φέρων τὸ πάχος, προσέπεσέ μοι, καὶ τοῦ δεξιοῦ μου ὤμου τὸ ἱμάτιον διαρρήξας καὶ τὴν πλευράν μου πατάξας, πρὸς τὰ κάτω συνεῖλκε. Κἀγὼ εὐθὺς ἐβόησα μεγάλῃ τῇ φωνῇ καὶ εἶπον· Δέσποινα βοήθησον, Χριστὲ βοήθησον. Τὸ κατεπεῖγον γὰρ τῆς ἀνάγκης οὐκ ἔασεν ἡμῖν διακρίσεως ἴχνος, ἵνα πρῶτον κληθῇ ὁ Δεσπότης, ἀλλ' ἡ Δέσποινα· καὶ ξένον οὐδέν.

Τότε οὖν ἡ πανταχοῦ παροῦσα καὶ τὰ πάντα πληροῦσα καὶ μὴ βραδύνουσα Χάρις, ἀστραπῆς ταχινώτερον παρεγένετό μοι, καὶ ἐρρύσατο τὴν ψυχήν μου ἐκ θανάτου, τοὺς ὀφθαλμούς μου ἀπὸ δακρύων καὶ τοὺς πόδας μου ἀπὸ ὀλισθήματος, κατὰ τὸν θεῖον Δαυΐδ (Ψαλμ. ριδ΄ 8), καὶ δι' ἀγγελικῆς, οἶμαι, τινὸς καὶ ἀοράτου ἐπιστασίας. Ὢ θαύματος ξένου, ὢ μυστηρίου καινοῦ, ὢ ἀνεκφράστου καὶ ἀκαταλήπτου δυνάμεως Θεοῦ!, ὡρᾶτο λίθος ὠθούμενος εἰς τοὐπίσω, καὶ τὴν κατωφερῆ καὶ εὔλογον αὐτοῦ καταλείψας ὁρμήν, τῇ ἀνωφερεῖ καὶ δυσκόλῳ ξενοπρεπῶς ἐπωθεῖτο. Κατέσχε δὲ ὑποκάτω αὐτοῦ τὴν δεξιάν μου χεῖρα σὺν τῇ σκαπάνῃ καὶ τῆς ποδέας μου τὸ ἄκρον, ἵνα μὴ κάτω ἀπορριφῶ. Καὶ καθάπερ τι θήραμα διακατέχεται, οὕτως ὑπὸ τοῦ λίθου ἐκείνου κατεκρατούμην δεινῶς, μηδεμίαν ἐν μηδενὶ σωτηρίας ἔχων ἐλπίδα. Τότε οὖν, ἐν τῇ δεινῇ ταύτῃ θήρᾳ καὶ συμφορᾷ καθορῶντές με οἱ ἀόρατοι θηρευταί, εἰκὸς ἦν οὐ τὴν τυχοῦσαν χαίρειν χαράν. «Εὐλογητὸς δὲ ὁ Θεός, ὃς οὐκ ἔδωκεν ἡμᾶς εἰς θήραν τοῖς ὀδοῦσιν αὐτῶν, ἀλλ' ἐρρύσατο ἡμῶν τὴν ψυχὴν ἐκ τῆς παγίδος τῶν θηρευόντων· ἡ παγὶς γὰρ αὐτῶν συνετρίβη σθένει Θεοῦ, καὶ ἡμεῖς ἐρρύσθημεν» (Ψαλμ. ρκγ΄ 5-6), χάριτι καὶ φιλανθρωπίᾳ αὐτοῦ. Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

*Ἡ μέση τοῦ λόγου.*

Οὕτως οὖν, ὡς ἔφην, ὑπὸ τοῦ λίθου κρατούμενος, ὁ ἀριστερὸς πούς κάτω ἐν τῷ κρημνῷ ἀπῃωρημένος ἦν, ὁ δεξιὸς δὲ ἡπλωμένος ἦν σύνεγγυς κατὰ τὸ μῆκος τοῦ λίθου, ἐγγίζων αὐτοῦ, ὃν κρατηθῆναι ὑποκάτω αὐτοῦ καὶ ὑπ' αὐτοῦ συντριβῆναι ἡ προφθάσασα Χάρις οὐ συνεχώρησε. Μεταξὺ δὲ τούτων ἕτερόν τι ὑπερφυὲς καὶ ξένον ἦν καθορώμενον θέαμα· ὅτι ἡ δεξιὰ χείρ μου, τοῦ λίθου ὑποκάτωθεν πιεζομένη, ἀσινὴς διεσώζετο· ἡ ἀριστερὰ δέ, ἔξωθεν οὖσα ἐλευθέρα, κρουνίδας αἱμάτων ἐν τῇ γῇ καὶ ἐν τῷ κόλπῳ μου ἦν καταφέρουσα. Ὁ δευτερεύων γὰρ τοῦ μικροῦ μου δακτύλου ἐπλήγη δεινῶς, καὶ τὸ τῆς παλάμης μου ὄπισθεν μέρος ἐτραυματίσθη μικρόν. Ἐγὼ δὲ οὐκ ᾔδειν οὐδὲ αἴσθησίν τινα ἔλαβον περὶ τῆς τούτων πληγῆς.

Ἔχω δὲ περὶ τούτων οὕτως εἰπεῖν, ὅτι, ὥσπερ τὴν κάμινον τῶν Χαλδαίων, ἵνα μή τινες ὑποτοπάσωσι τῶν ἀθέων φαντασίαν τινὰ καὶ μὴ ἀληθὲς εἶναι ἐκεῖνο τὸ πῦρ, μηδὲ καυστικὴν ἔχειν ἐνέργειαν, κατέφλεγε μὲν τοὺς ἔξω, καὶ τὴν καυστικὴν αὐτοῦ δύναμιν ὑπεδείκνυεν, οἱ ἐν μέσῳ δὲ τῆς φλογὸς διεσώζοντο ἀβλαβεῖς. Οὕτω παραπλησίως ἡ τότε καὶ νῦν ἔδρασε Χάρις ξένως καὶ ὑπερφυῶς. Εἰ γὰρ καὶ ἄπειρος ὁ μεταξὺ χρόνος τῶν νῦν καὶ τῶν τότε, καὶ πολλὴ ἡ διαφορά, ἀλλ' ἡ θεία Χάρις ἄχρονός τε καὶ ἀδιάφορος πέλει ἀεί, δυναμένη κατὰ γενεὰν καὶ γενεὰν τοιαῦτα δρᾶν

εἴτε καὶ μείζονα, ἔνθα καὶ βούλεται. Ὥσπερ δὲ οἱ τρισμακάριοι Παῖδες ἐκεῖνοι, βληθέντες ἐν τῇ καμίνῳ καὶ τῆς παρούσης ἀπελπίσαντες ζωῆς, ἀπεφθέγγοντο τὰ τελευταῖα καὶ ἔλεγον· «Ὡς ἐν ὁλοκαυτώμασι κριῶν, Κύριε, καὶ ταύρων καὶ ὡς ἐν μυριάσιν ἀρνῶν πιόνων, οὕτω γενέσθω ἡ θυσία ἡμῶν εὐπρόσδεκτος ἐνώπιόν σου σήμερον καὶ ἐκτελείσθω, ὅτι οὐκ ἔστιν αἰσχύνη τοῖς πεποιθόσιν ἐπὶ σέ» (Ὕμνος τῶν Τριῶν Παίδων, Δανιὴλ γ΄ 16). Καὶ ὥσπερ ταῦτα ἔλεγον οἱ γεννάδες ἐκεῖνοι, μηδεμίαν ζωῆς ἐσχηκότες ἐλπίδα, οὕτω κἀγώ, τὸ ἄσχετον ἰδὼν τῆς τοῦ λίθου ὁρμῆς πρὸς τὸ κάταντες συνωθούμενον, ἀπήλπισα ἤδη τῆς παρούσης ζωῆς.

Κρατηθεὶς δὲ ὑπὸ τοῦ λίθου, ὡς εἴρηται, ἄλλος με πάλιν διεδέξατο φόβος. Διενοούμην γάρ, ὅτι, εἰ καὶ τοῦ λίθου ἀπολυθῶ καὶ οὕτως ἀπορριφήσομαι κάτω διὰ τὸ μὴ ἔχειν με κράτημα ἢ πάτημα κἂν ποσῶς. Ἀλλὰ καὶ τοῦτον εὐθὺς τὸν φόβον, τῆς ἐμῆς καρδίας ἀφείλετο ἡ προφθάσασα Χάρις καί, ἀντεισάξασα θάρσος καὶ ἀγαλλίασιν, ἠρξάμην τοῦ λέγειν· «Ὁ Θεὸς ἡμῶν καταφυγὴ καὶ δύναμις, βοηθὸς ἐν θλίψεσι ταῖς εὑρούσαις ἡμᾶς σφόδρα» (Ψαλμ. μϛ΄ 2). Καὶ στραφείς, βλέπω πλησίον μου ἑστῶτά τινα ἡμέτερον ἱερομόναχον, Ἰάκωβον τοὔνομα, ὅλον ὑπότρομον καὶ ὡς κάλαμον ὑπὸ ἀνέμου κλονούμενον, καὶ τί δρᾶσαι ἢ φράσαι ὅλως μηδὲν ἔχοντα, πρὸς ὃν καὶ εἶπον ἐν ἀταράχῳ φωνῇ· Μὴ φοβοῦ, ἀδελφέ, μὴ φοβοῦ, ἀλλ᾽ ἅψαι τοῦ λίθου ἐπιμελῶς, μήπως μικρὸν κουφισθείς, ἐκβάλω τὴν χεῖρά μου. Τοῦτο δὲ πεποιηκότος καὶ κοπιάσαντος, ἀκίνητος ὁ λίθος διέμεινεν, ὥσπερ μόλυβδος πολυτάλαντος. Εἶτα, φωνήσαντος καὶ τοὺς λοιποὺς ἀδελφούς, ἀνῆλθον μετὰ σπουδῆς, ἀλλὰ διὰ τὸ τοῦ τόπου στενὸν ἵσταντο ῥάδα, ἕκαστος ὄπισθεν τοῦ ἑτέρου· ἦν γὰρ ἀκμήν, ἣν διεχάραξα τρίβον, στενὴ καὶ μονόπατος καὶ οὐδὲν πλεῖον, ἐν ᾗ καὶ ἵσταντο ῥάδα ἐν ἀμηχανίᾳ ὅ,τι πολλῇ. Ἐγὼ δὲ τῷ προρρηθέντι μοναχῷ, ὡς πλησιάζοντί μοι, καὶ πάλιν ἔφην· Λάβε μοι τὸ βαρυσφύριον καὶ κροῦσον τοῦ λίθου. Λαβὼν δὲ καὶ κρούσας, προμηθείᾳ Θεοῦ ἀπερράγησαν τμήματα δύο, ἀνδροσηκώματος πλεῖον, καί, μόλις ταῦτα κυλίσαντες μικρὸν ἄπωθεν τοῦ λίθου, τὸ ἄχθος κουφότερον γέγονε· ὃν καὶ μικρὸν διακουφίσαντες, ἐξείλαντό μου τὴν χεῖρα. Ὢ θείας καὶ ἀνεκφράστου δυνάμεως!, μηδὲν δεινὸν πεπονθυῖαν, πλὴν ὅτι ὁ λιχανὸς δάκτυλος μόνος ἐνάρκησε μικρόν. Ἐγὼ δὲ τοῦ λίθου ἐπιλαβόμενος τῇ μιᾷ χειρί, τὴν ἑτέραν κρατήσαντες οἱ ἀδελφοί, κἀγὼ κατὰ μικρὸν πρὸς αὐτοὺς ἐνδιδούς, μόλις ἐπανῆλθον τῆς δεινῆς κρεμαστῆρος ἐκείνης· καὶ ἐν τῇ ῥηθείσῃ μικρᾷ τρίβῳ προσερείσας τοὺς πόδας, καὶ τὰς χεῖρας ἄνω διαπετάσας, ἔδωκα δόξαν τῷ Θεῷ, τῷ ἐκ τηλικούτου θανάτου ῥυσαμένῳ με παραδόξως καί, «Ὑψώσω σε, ἔλεγον, Κύριε, ὅτι ὑπέλαβές με καὶ οὐκ εὔφρανας τοὺς ἐχθρούς μου ἐπ᾽ ἐμέ. Κύριε ὁ Θεός μου, ἐκέκραξα πρὸς σὲ καὶ ἰάσω με. Κύριε, ἀνήγαγες ἐξ ᾅδου τὴν ψυχήν μου, καὶ ἔσωσάς με ἀπὸ τῶν καταβαινόντων εἰς λάκκον, ὅτι εὐλογητός εἶ εἰς τοὺς αἰῶνας. Ἀμήν» (Ψαλμ. κθ΄ 2-4).

Καὶ οὕτω χαρᾶς πολλῆς πληρωθείσης μου τῆς καρδίας, ἤθελον, πρὸς δόξαν Θεοῦ καὶ αἰσχύνην τοῦ δαίμονος, τὴν προρρηθεῖσαν σφῦραν λαβεῖν καὶ διὰ τῆς μιᾶς χειρὸς καταλῦσαι τὸν λίθον, διεκωλύθην δὲ παρὰ τῶν ἀδελφῶν. Δέον ἐστίν, ἔλεγον, τὸν πληγωθέντα περιποιήσασθαι δάκτυλον, μήπως ἀποψυχρανθείς, ὀδύνην σοι παρεισάξει. Εἶξα οὖν κἀγὼ τῇ αὐτῶν συμβουλῇ. Εὐθέως κατήλθομεν καὶ μετὰ χλιαροῦ ὕδατος τὴν χεῖρα καὶ τὴν τομὴν ἀποκλύσαντες τῶν αἱμάτων, τὸν δάκτυλον μετὰ ῥάμματος ἐδεσμεύσαμεν. Ἦν γὰρ τὸ τούτου τραῦμα δεινότατον. Ὅλη γὰρ αὐτοῦ ἡ ῥὼξ κατεκόπη μέχρι καὶ τοῦ ὀνύχου. Κἀγὼ τὸν τῆς πληγῆς τρόπον εἰπεῖν οὐκ ἐπίσταμαι. Ξένον δὲ ὅτι τὸ ὀνύχιον σὺν Θεῷ παρεβλάβη οὐδέν. Τὸν δάκτυλον δέ, ὡς εἴρηται, περισφίξας καὶ τὴν ἐξ ἔθους σύναξιν ἐκτελέσας καὶ ἄρτου γευσαμένων τῶν ἀδελφῶν, διεστειλάμην αὐτοῖς λέγων· Ὁρᾶτε, καὶ μηδενὶ ἐξείπητε τὸ γενόμενον, μήπως τινὲς τῶν περιέργων, ἀντὶ τοῦ θαυμάσαι περιεργάσωνται τὰ μὴ δέοντα. Διὸ καὶ ἐσιωπήθη τὸ δρᾶμα μέχρι καιροῦ.

Κἀγώ, ἀπολύσας τοὺς ἀδελφούς, εἰσῆλθον ἐν τῇ Ἐγκλείστρᾳ καὶ ἀνεκλίθην ἐν τῷ χαραδρίῳ μου, πολλὰς μετὰ δακρύων εὐχαριστίας ὁμολογῶν τῷ Θεῷ, τῷ ἐκ τοῦ αἰφνιδίου καὶ πικροῦ καὶ ἀτιμοτάτου τούτου θανάτου ῥυσαμένῳ με παραδόξως. Τοῦ δὲ δακτύλου ὁ πόνος, αὐξάνων κατὰ μικρόν, ὀξυτάτους μοι καὶ δριμυτάτους προσῆγε τὰς ἀλγηδόνας. Καὶ ὡς μηδεμίαν ἀνακλινόμενος εἶχον ἀνάπαυσιν, ἐξανέστην ταχέως καὶ τὸν παρατυχόντα χάρτην καὶ κάλαμον ἐπὶ χεῖρας λαβών, ἠρξάμην τοῦ γράφειν καὶ λέγειν οὕτως· Ξένον ὄντως, ἀλλὰ καὶ πάνυ ξένον ὄντως.... Ἐπεὶ δὲ καὶ ἡ νὺξ κατέλαβε καὶ ἡ ἀλγηδὼν ἐπετείνετο, καὶ μὴ δυνάμενος γράφειν καὶ προσπαλαίειν πόνῳ τοσούτῳ, ἀναστὰς ἀνεκλίθην καὶ αὖθις, καὶ νῦν μὲν τὴν χεῖρα ἐπετίθην τῷ στήθει μου, νῦν δὲ ὑπτίαν, νῦν δὲ ὄρθιον, καὶ κουφισμὸς τοῦ πόνου παρῆν οὐδαμῶς. Κἀγὼ ἐντεῦθεν πρὸς πλείονα δοξολογίαν διεγειρόμην Θεοῦ. Εἰ γὰρ δακτύλου ἑνὸς ἄκρον, ἔλεγον, οὕτως ἡμᾶς κατατήκει, τί ἂν λοιπὸν ὑποισόμεθα, εἰ κατεκλάσθη τὸ σκέλος ἢ συνετρίβη χείρ, ἢ ἀλλ᾽ ὅ,τι τοῦ σώματος συνεθλάσθη μόριον; Ἐὰν δὲ καὶ ἐν τῷ κρημνῷ κάτω συνεχωρήθην ἀκοντισθῆναι, ὡς ἡ ὁρμὴ κατηπείγετο, τίς ἱκανὸς ἐξειπεῖν τὴν πολλὴν καὶ δεινὴν τραγῳδίαν ἐκείνην καὶ συμφοράν; Λέγω δὴ τὴν τῶν μελῶν συντριβήν, τὴν διάλυσιν τῶν ἁρμῶν, τὴν διατομὴν τῆς σαρκός, τὴν τοῦ μυελοῦ διασποράν, τὴν χύσιν τῶν ἐγκάτων καὶ ἁπλῶς τὸν τοῦ σώματος καθόλου ἀφανισμόν. Οὐδὲ γὰρ ἦν μέτριος ὁ κρημνός, ἵνα καὶ ἡ συντριβὴ μέτριος ἀποβῇ, ἀλλὰ ὀργυῶν ἦν δέκα καὶ ὀκτώ, ὡς ὕστερον ἔγωγε τοῦτο καταμετρήσας μεμάθηκα πείρᾳ. Ἀλλὰ καὶ ἡ κάτωθεν ἱσταμένη

κυπάρισσος ἱκανῶς εἶχε καὶ ἐλέφαντος σῶμα καταδιελεῖν, μήτοι γε ἀδρανέστατον τοιοῦτον οἷον καὶ τὸ ἡμέτερον.

Ταῦτα οὖν ἀδολεσχῶν καὶ προσπαλαίων τῷ πόνῳ καὶ ἀντιμαχόμενος, ἄϋπνος διετέλουν τὴν νύκτα ὅλην ἐκείνην, ἄχρις οὗ καὶ ἡμερῶν ἕξ ὀδυνηρῶς εἶχον καὶ ἀλγεινῶς. Ὅθεν καὶ θερμασία πολλὴ προσεγένετό μοι, ἐξ ἧς ἀσιτία καὶ ἀϋπνία παντελὴς κατεδάμασέ με, καὶ διῆγον ἔμπνους, νεκροῦ σχεδὸν μηδὲν διαφέρων. Παρελθουσῶν δὲ τῶν ῥηθεισῶν ἕξ ἡμερῶν, ὀδύνη λοιπὸν ἡσύχασεν ἅπασα καὶ τὰ πρὸς ῥῶσιν ἔνθεν ἐχορήγει μοι Θεός. Κἀγὼ δὲ διανοούμενος τὴν ὑπερφυῶς προσγινομένην μοι κηδεμονίαν Θεοῦ, ἐδόξαζον αὐτὸν καὶ πάλιν δοξάσω, ἀλλὰ καὶ ὑμᾶς ὡς φιλοχρίστους ἀξιῶ τοὺς ἀκροατάς, σὺν ἐμοὶ δοῦναι δόξαν τῷ Θεῷ.

*Δοξολογία περὶ τῆς ἁγίας Τριάδος.*

Δόξα σοι, δόξα σοι, ὁ Πατὴρ τῶν οἰκτιρμῶν καὶ Θεὸς πάσης παρακλήσεως. Δόξα σοι, δόξα σοι, ὁ τῶν νῦν καὶ τῶν πάλαι θαυμασίων Θεός. Δόξα σοι, ὁ γεννήτωρ Πατήρ, ὁ ἐκ σοῦ γεννηθεὶς Λόγος καὶ Θεός, καὶ τὸ ἐκ σοῦ αἰωνίζον θεοπρεπῶς Παράκλητον Πνεῦμα. Δόξα σοι ἄκτιστε, ἄναρχε, παναλκὴς τρισυπόστατε μονὰς καὶ ἀμέριστε τῇ οὐσίᾳ. Δόξα σοι σύνθρονε, συναΐδιε, ὁμόδοξε καὶ ὁμοβασίλειε Τριάς. Δόξα σοι, ὁ Πατήρ, ὅτι ἐποίησας ἡμᾶς· δόξα σοι, ὁ Υἱός, ὅτι ἔσωσας ἡμᾶς· δόξα σοι, τὸ Πανάγιον Πνεῦμα, ὅτι ἀνεκαίνισας ἡμᾶς· δόξα τῷ κράτει τῆς ἰσχύος σου, ὁ ἐν Τριάδι καὶ μιᾷ Θεότητι δοξαζόμενος Θεός.

Δόξα σοι, ὅτι οὐ κρημνός, οὐ θάλασσα, οὐ ποταμός, οὐ φρέαρ, οὐ ξίφος, οὐ πῦρ, οὐ θηρίον, οὐδ' ἄλλο τι κατεπεῖγον σφοδρῶς καὶ ὀξέως προσαπολέσαι τινὰ δύναται ἢ ἀντιβλέψαι τῷ κράτει τῆς ἰσχύος σου, ἐν οἷς βούλει σε διασώζειν τοὺς κινδυνεύοντας. Ἀλλὰ νῦν μὲν ἡ εὐδοκία καὶ μόνη τῆς δυναστείας σου, ἀστραπῆς ταχινώτερον ἐπιφθάσασα, τῶν κινδύνων διασώζει τοὺς κινδυνεύοντας. Νῦν δὲ κατὰ γνώμην τῆς σῆς ἀγαθότητος, Ἄγγελος θεῖος παρεμβαλῶν κύκλῳ τῶν φοβουμένων σε διαφυλάττει αὐτοὺς καὶ ἐξέλει τῶν ἀναγκῶν, τῷ ἐλέει σου (Ψαλμ. λγ΄ 8)· ὅτε δὲ τοῖς κινδύνοις παραδιδόμεθα καὶ ὑπ' αὐτῶν συντριβόμενοι προσαπολλύμεθα, οὐκ ἀπορίαν καὶ ἀδυναμίαν ἢ ἀπρονοησίαν τῆς ἀπορρήτου δυνάμεως καὶ προνοίας σου οἱ δοῦλοί σου ἐπιγράφομεν, Δέσποτα, ἀλλὰ γεώργιον καὶ καρπὸν τῶν πονηρῶν ἔργων καὶ πράξεων ἡμῶν, ὅτι «ἐν τοῖς ἔργοις», φησί, «τῶν χειρῶν αὐτοῦ συνελήφθη ὁ ἁμαρτωλός» (Ψαλμ. θ΄ 17), καὶ «πεσοῦνται ἐν ἀμφιβλήστρῳ αὐτῶν οἱ ἁμαρτωλοί» (Ψαλμ. ρμ΄ 10), καὶ ὅσα τοιαῦτα.

Δόξα σοι, Χριστὲ παμβασιλεῦ τῆς δόξης, Κύριε τοῦ ἐλέους, δι' οὗ καὶ τῆς τυραννίδος τοῦ ᾅδου καὶ μοχθηρᾶς δουλείας τοῦ ἀντικειμένου ἀπαλλαγέντες, ἐλευθερίας ἐτύχομεν, κινδύνων δὲ ἀοράτων καὶ ὁρατῶν θαυμαστῶς ἐκλυτρούμενοι.

Δόξα σοι, μονογενὲς Υἱέ, ὁμοφυὲς καὶ ἀγαπητὲ Λόγε τοῦ Θεοῦ καὶ Πατρός, τὸ τοῦ Θεοῦ ἔλεος καὶ ἡ ἀλήθεια ἡ ἐλθοῦσα ἐκ τοῦ οὐρανοῦ καὶ σώσασα ἡμᾶς, περὶ ἧς καὶ ὁ Δαυῒδ λέγων προανεφώνει τρανῶς· «Ἐξαπέστειλεν ἐκ τοῦ οὐρανοῦ καὶ ἔσωσέ με, ἐξαπέστειλεν ὁ Θεὸς τὸ ἔλεος αὐτοῦ καὶ τὴν ἀλήθειαν αὐτοῦ καὶ ἐρρύσατο τὴν ψυχήν μου» (Ψαλμ. νς΄ 4-5).

Δόξα σοι, μόνε ἀναμάρτητε Ἰησοῦ Ἐμμανουήλ, καὶ αὐτεπάγγελτε βοηθὲ τοῦ γένους τῶν ἀνθρώπων. Θεός μου εἶ σὺ καὶ ἐξομολογήσομαί σοι. Θεός μου εἶ σὺ καὶ ὑψώσω σε. Ἐξομολογήσομαί σοι, ὅτι ἐπήκουσάς μου καὶ ἐγένου μοι εἰς σωτηρίαν.

*Εἰς τὴν Θεοτόκον.*

Δόξα σοι, καὶ αὐτὴ πανάχραντε, ἁγνὴ Δέσποινα, εὐλογημένη Παρθένε, Θεοτόκε· ἡ πρωτόκλητος ἐμοὶ διὰ γλώττης καὶ καρδίας ἐν τῇ ὥρᾳ τῇ φρικτῇ τῆς περιστάσεως τῆς ἐμῆς.

Δόξα σοι, Δέσποινα Θεοτόκε, ἡ κραταιὰ βοήθεια τῶν πιστῶν καὶ τῶν ἐπὶ σοὶ πεποιθότων σὺν τῇ ἐμῇ ἀναξιότητι, ταχυτάτη ἀντίληψις.

Δόξα σοι, πανάχραντε, ἁγνὴ Θεογεννῆτορ, δι' ἧς ἡ ζωαρχία φθορᾶς καὶ θανάτου ἡμᾶς ἐλυτρώσατο.

*Τοῦ Σταυροῦ.*

Δόξα σοι, καὶ αὐτός, παγκόσμιε καὶ πανσέβαστε τοῦ Κυρίου Σταυρὲ καὶ οἰκοδέσποτα τῶν ὧδε καὶ τῆς ἡμῶν ἀρωγὲ σωτηρίας καὶ τῶν ἡμῶν ἐπιβούλων δαιμόνων, κατακάρδιος ἧλος.

Δόξα σοι, θεοφόρε θεῖε Σταυρέ, τὸ ἀήττητον ὅπλον καὶ εἰρηναῖον, τὸ διαφυλάττον ἡμᾶς ἐκ τῶν βελῶν τοῦ Βελίαρ, ἡ ἐμὴ ῥάβδος καὶ ἀκλινὴς βακτηρία, δι' ἧς τοῦ δεινοῦ πτώματος καὶ ὀλεθρίου, ἀνέστην καὶ ἀνωρθώθην ἐγώ.

Δόξα σοι, εὐθαλὲς καὶ κατάσκιον μονοδένδριον καὶ τριδένδριον δένδρον τῆς ἀκτίστου Τριάδος· δι' οὗ τῆς δαιμονιώδους πτώσεως καὶ καυσώδους ὀχλήσεως ἐγὼ διασωθείς, πρὸς τὴν ζωηφόρον σκιὰν ἐπανῆλθον ξενοπρεπῶς· ὁ τοῦ ἀώρου θανάτου τῷ καύσωνι πεφθακὼς καὶ θαυμασίως ἐκεῖθεν πάλιν ἀνακληθείς· ὁ ἐλθὼν ἤδη καὶ πεφθακὼς πρὸς τὰς τοῦ βίου δυσμὰς καὶ ἡ διὰ σοῦ πρὸς τὴν δύσιν ἡμῶν ἐνδημήσασα ἀνατολὴ τῶν ἀνατολῶν, ἀνατολὴν ζωτικὴν ἡμῖν ἐχαρίσατο πᾶσιν.

*Τῶν Ἀσωμάτων.*

Δόξα σοι, καὶ αὐτὴ δεδοξασμένη πρὸς Θεοῦ, ἡ φλογοφόρος δυὰς τῶν θείων Ἀρχαγγέλων, Μιχαὴλ καὶ Γαβριήλ, σὺν τῇ λοιπῇ χορείᾳ τῶν οὐρανίων Δυνάμεων· δι' ὧν καὶ φυλαττόμεθα πάντες ἐκ τῶν σκανδάλων τοῦ πολεμήτορος.

*Περὶ τοῦ ἰδίου Φύλακος.*

Δόξα σοι, καὶ οὗτος πυρσοφωτότατε Ἄγγελε Θεοῦ, ὁ νεύσει θεϊκῇ παραφυλάττων μου τὴν ζωὴν καὶ τὴν ψυχήν, δι᾽ οὗ καὶ τυραννίδος δαιμόνων καὶ κινδύνων πολλῶν καὶ τῆς μανίας τοῦ Σατανᾶ ἐξεῖλέ με ῥᾳδίως. Ἀλλὰ μὴ νυστάξῃς, μηδὲ ὑπνώσῃς, μηδὲ ἀποκάμῃς, μηδὲ ἀποστῇς σου τῆς φυλακῆς παρακαλῶ, διὰ τὸ ταύτης ἀνάξιον καὶ ἐμπαθές· ἵνα μὴ ὑπὸ κλεπτῶν καὶ φονέων καὶ πετεινῶν ἀκαθάρτων, ἑρπετῶν τε καὶ θηρίων ἀοράτων ἀναλωθῶ καὶ δώσεις λόγον τῷ Κυρίῳ καὶ Δεσπότῃ σου. Ἀλλὰ φύλαξόν μου δέομαι ἀνυστάκτως τὴν ψυχήν, ἄχρις ἂν τῷ Κυρίῳ σου καὶ ταῖς αὐτοῦ ἀποθήκαις εἰσοδεύσῃς αὐτὴν καὶ δαψιλεῖς μὲν τοὺς ἐπαίνους, πλουσίους δὲ τοὺς μισθούς σου, πρυτανεῦσαί σοι εἰς αἰῶνας.

Ταῦτα οὖν σὺν Θεῷ συνεγραψάμην ἐγώ, πίστει καὶ πόθῳ καὶ φόβῳ Θεοῦ καὶ οὐ χάριν φιλοτιμίας, ὡς προείρηκα, οὐδὲ παρέργως ἁπλῶς, ἀλλὰ πρὸς Θεοῦ δοξολογίαν καὶ ὠφέλειαν τῶν παρόντων. Εἰ δὲ δυνάμεως εἶχον ἀναπτῆναι καὶ πρὸς ἀέρα καὶ σαλπίσαι τρανῶς καὶ πᾶσαν γλῶσσαν κινῆσαι πρὸς εὐφημίαν Θεοῦ, εἶχον ἂν καὶ τοῦτο ἐπιτελέσαι γανύμενος. Ἐπεὶ δέ μοι τὸ χαμερπὲς καὶ χαμαίζηλον πρὸς τοῦτο ἀδυνατεῖ, κἂν ὑμεῖς οἱ παρόντες καὶ ἀκούοντες, ὡς τοῦ καλοῦ ἐρασταὶ καὶ φιλόχριστοι, τῆς καθέδρας ὑμῶν ἕκαστος ταχέως ἐξαναστάς, δεῦτε σὺν ἐμοὶ προσκυνήσατε καὶ δῶμεν δόξαν τῷ Θεῷ καὶ συνευξάμενοι λέξωμεν οὕτως·

*Εὐχὴ περιεκτική.*

Ὁ Πατρικῇ εὐδοκίᾳ καὶ συνεργείᾳ Πνεύματος ἁγίου, τοῦ πατρικοῦ κόλπου ἐπαναστὰς κἀκεῖθεν μὴ χωρισθείς, καὶ οὐρανοὺς κλίνας καὶ καταβὰς καὶ μορφὴν δουλικὴν ἐκ τῆς ἀχράντου Μαρίας, ὑπὲρ νοῦν καὶ λόγον προσειληφώς, καὶ πληρώσας πᾶσαν οἰκονομίαν ὑπὲρ ἡμῶν καὶ Σταυρὸν καὶ θάνατον ἐπονείδιστον ἑκουσίως καταδεξάμενος καὶ τριήμερος ἐκ τοῦ τάφου καὶ τῶν τοῦ ᾅδου ταμείων, τῇ θεϊκῇ δυναστείᾳ σου ἐξαναστάς, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ δεσμοῖς αἰωνίοις καταδεσμεύσας τὸν τύραννον, καὶ λύσας τοὺς δεδεμένους καὶ συνεγείρας τῷ κράτει σου καὶ θανατώσας τὸν θάνατον, εὐχαριστῶ, εὐλογῶ, δοξάζω τὸ κράτος καὶ τὸ ἔλεος τῆς ἀγαθότητός σου καὶ ὑπὲρ τῆς νῦν γενομένης μοι ὑπερφυεστάτης κηδεμονίας σου, τῆς ἐκ τῶν πυλῶν τοῦ θανάτου παραδόξως ἐξελουμένης με· ὁ ἐλθὼν καὶ διασώσας ἀπολλύμενον κόσμον· ὁ τῆς φθορᾶς ἀναιρέτης καὶ χορηγὸς τῆς ζωῆς· ὁ φιλανθρώπως ἐλθὼν καὶ καλέσας ἁμαρτωλοὺς εἰς μετάνοιαν· ὁ υἱοθετήσας ἡμᾶς βαπτίσματι ἁγίῳ τοὺς μακρυνθέντας Θεοῦ καὶ εἰς χώραν μακρὰν τῶν πονηρῶν πολιτῶν καὶ καταφαγόντας ἐν ἀσωτίᾳ τὸν πλοῦτον τὸν πατρικόν· ὁ τὰ πάντα παραγαγὼν ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι καὶ τὰ πάντα συνέχων δρακὶ τῇ πανσθενεῖ δεξιᾷ· ὁ κἀμὲ ποιήσας καὶ πλάσας καὶ τῆς τοῦ κόσμου ζάλης καὶ ῥυπαρίας καὶ μοχθηρᾶς δουλείας καὶ τρικυμίας ἐξαγαγών, καὶ ὡς ἐν λιμένι τινὶ τῷ κρημνῷ τούτῳ καὶ τῇ Ἐγκλείστρᾳ προσορμίσας με, τῷ ἐλέει τῶν οἰκτιρμῶν σου καὶ ἐκ τοῦ ἀφανοῦς πρὸς τὸ ἐμφανὲς ταύτην παραγαγών, ἣν ἐπρυτάνευσάς μοι καὶ ἣν παρέδωκας τῇ χειρί σου σὺν τῇ ψυχῇ καὶ τῇ πνοῇ καὶ τῷ σώματί μου· ἣν καὶ διαφύλαξον ἐν εἰρήνῃ, ὡς εἰρήνη Θεοῦ καὶ Θεὸς ἀληθινὸς ἐκ Θεοῦ ἀληθινοῦ, ὅπως μὴ ἀτίμως, κατὰ τὴν γνώμην τοῦ πονηροῦ, ἀλλ᾽ ἐντίμως καὶ σωτηρίως, κατὰ τὴν γνώμην σοῦ τοῦ φύσει Ἀγαθοῦ, τὸ τέλος ἡμῶν ἐκεῖνο, περατωθέν, δοξασθῇ σου καὶ ἐντεῦθεν ἀξιοχρέως τὸ πανάγιον Ὄνομα.

Σὺ γὰρ καὶ τὴν καθ᾽ ἡμῶν οἶδας μανίαν τοῦ Σατανᾶ καὶ τῆς ἡμῶν φύσεως τὸ ἀδρανές, ὡς πλάσας αὐτὴν καὶ ὡς φορέσας αὐτὴν πρὸς τὸ σῶσαι αὐτήν· διὸ καὶ τὴν αὐτῆς ἀσθένειαν καλῶς ἐπιστάμενος, ἐνετείλω ἡμῖν ὅτι «χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν» (Ἰωάν. ιε΄ 5), καὶ «καθὼς τὸ κλῆμα οὐ δύναται καρπὸν φέρειν ἀφ᾽ ἑαυτοῦ, ἐὰν μὴ μείνῃ ἐν τῇ ἀμπέλῳ, οὕτως οὐδὲ ὑμεῖς» (Ἰωάν. ιε΄ 4). Διὸ καὶ ἡμᾶς καταξίωσον κολληθῆναί σοι ὡς τὸ κλῆμα, Κύριε, ἐν τῇ ἀμπέλῳ, ἵνα ὥσπερ ἡ ἄμπελος μὲν ἐκφύει τὸ κλῆμα, τὸ κλῆμα δὲ τὸν καρπόν, ὁ καρπὸς δὲ τὸν οἶνον, οὕτω καὶ ἡμᾶς, Κύριε, καταξίωσον καρποφορῆσαι σοὶ ἀρετὰς ἐνθέων πράξεων καὶ καρπῶν. Καὶ καθάπερ ὁ τῆς ἀμπέλου ληνοπατεῖται καρπὸς καὶ γλεῦκος ἀποτελεῖται καὶ ἀπαρτίζεται οἶνος, εὐφραίνων τὸν γεωργόν, οὕτω καὶ ἐφ᾽ ἡμᾶς εὐδόκησον, Κύριε, τὴν σὴν εὐφρᾶναι ἀγαθότητα γεωργοῦ τοῦ πανγεωργοῦ· καὶ ὥσπερ φιλόπονος γεωργὸς φιλοπόνως καθαίρει, ἀροτριᾷ, τειχίζει, διαφράττει, καλλιεργεῖ, σοβεῖ πετεινά, κλέπτας, ἑρπετὰ καὶ θηρία, πρὸς τὸ μὴ βλάψαι τὴν ἄμπελον, καὶ τὸν ταύτης καρπόν, οὕτω καὶ σύ, Κύριε, «ἡ ἄμπελος ἡ ἀληθινὴ καὶ ὁ Πατήρ σου ὁ γεωργός» (Ἰωάν. ιε΄ 1) καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον, ἡ ὁμόθεος ἐξουσία· κάθαρον ἡμᾶς, ἀροτρίασον ἡμᾶς δικαιοσύνης νεώματα, καλλιέργησον ἡμᾶς τηρήσει τῶν ἐντολῶν σου, καὶ τείχισον ἡμᾶς ἁγίοις Ἀγγέλοις σου, ἵνα τῇ τούτων φωτοφανείᾳ καὶ ἀγρύπνῳ φυλακῇ, φυγαδευθῶσιν οἱ κλέπται, τὰ θηρία, τὰ πετεινά, καὶ οἱ τοῦ σκότους ἐργάται, ἵνα μὴ κλέψωσι καὶ θύσωσι καὶ ἀπολέσωσιν, ἀλλ᾽ ἵνα ἀποστραφῶσι κατῃσχυμμένοι μᾶλλον καὶ ἄπρακτοι.

Ἡμᾶς δὲ τοὺς ταπεινοὺς καὶ Πνεύματος ἁγίου μετόχους ἀνάδειξον καὶ τέλους ἀγαθοῦ καταξίωσον, συγγράφους, ἀναγνώστας, ἀκροατάς, καὶ ὁλικῶς τοὺς παρόντας μου καὶ τὸν τόπον τοῦτον ὡς οἰκεῖόν σου κτῆμα καὶ τοὺς οἰκοῦντας ἐνθάδε, ἱλέῳ σου ὄμματι καὶ σκέπῃ τῶν πτερύγων σου, ἀσινεῖς διαφύλαξον, καὶ τοὺς ἐν πίστει ἐν τούτῳ διακονήσαντας ἢ διακονοῦντας ἁμαρτημάτων λύσιν τὸν μισθὸν αὐτοῖς ἐπιβράβευσον,

εὐχαῖς τῆς πανοσίου σου Ξένης, ἧς καὶ τὴν ἐτήσιον μνήμην γεραίρομεν σήμερον, καὶ τὴν εἰς ἡμᾶς κηδεμονίαν σου ἀνεκηρύξαμεν, ὅπως ἐκ πάντων καὶ πασῶν δοξάζηταί σου τὸ πανάγιον Ὄνομα, σὺν τῷ ἀνάρχῳ καὶ συνανάρχῳ Πατρὶ καὶ τῷ παναγίῳ καὶ ζωαρχικῷ καὶ ὁμοουσίῳ σου Πνεύματι, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## Νεοφύτου πρεσβυτέρου, μοναχοῦ καὶ ἐγκλείστου, Περὶ τῆς Θεοσημείας ἀντίγραμμα πρὸς τὸν ἴδιον ἀδελφὸν Χρυσοστομίτην κὺρ Ἰωάννην.

– Εὐλόγησον, πάτερ.

Γεγράφηκας ἡμῖν, κὺρ ἀδελφέ, εἴγε ἆρα, μετὰ τὴν παράδοξον ἐκείνην θεοσημείαν καὶ τὴν ἐκ τῶν πυλῶν τοῦ θανάτου ἀπαλλαγήν, προσέθηκα ἀνελθεῖν καὶ τοῦ προκειμένου ἔργου ἐφάψασθαι πάλιν ἤ, τῷ δέει περιβληθείς, κατέλειψα τοῦτο διὰ τὴν δραματουργίαν τοῦ Σατανᾶ. Καὶ ἴσθι, ἀδελφέ, ὅτι τοσοῦτον τῆς ἀνόδου καὶ τῆς ἐργασίας ἀπειργήθην ἐκείνης, ὅσον τοῦ καταπαῦσαι τὸ τοῦ δακτύλου μου ἄλγος καὶ εἶθ' οὕτως, μετὰ τοσαύτης σὺν Θεῷ ἀνῆλθον τῆς πεποιθήσεως καὶ θρασύτητος κατ' ἐκείνου τοῦ λίθου, μεθ' ὅσης ὁπότ' ἄν τις δηχθεὶς ὑπό τινος ὄφεως καὶ τῇ θείᾳ ῥοπῇ ἀβλαβὴς διατηρηθείς, πονέσας δὲ μόνον καὶ πρὸς ἀναίρεσιν τοῦ ὄφεως θερμοτέρως διεγερθείς, ἀνεῖλεν αὐτόν. Οὕτω καὶ τὰ περὶ ἐμοῦ σὺν Θεῷ διανοοῦ, ἀδελφέ, ὅτι μεθ' ἡμέρας τινὰς καὶ τοῦ δακτύλου τὴν θεραπείαν καὶ τοῦ πόνου τὴν παῦλαν, τὴν θείαν θωρακισάμενος βοήθειαν, μετὰ πολλῆς ἀνῆλθον τῆς προθυμίας καί, τὸν σκληρὸν κατακλάσας καὶ μιαιφόνον λίθον ἐκεῖνον, ἐξήγαγον τὴν σκαπάνην· ἔτι γὰρ πιεζομένη ἐτύγχανεν ὑποκάτωθεν αὐτοῦ. Καὶ ἔκτοτε σὺν Θεῷ εὐτόνως καὶ ὁλοψύχως καθ' ἑκάστην ἔδρων τὴν ἐργασίαν, τοῦτο μὲν εἰς δόξαν τοῦ ἐμὲ κατελεήσαντος Θεοῦ καὶ πρυτανεύσαντός μοι τὸ ζῆν ἄχρις ἂν αὐτὸς εὐδοκῇ, ὡς τῆς ζωῆς ἔχων καὶ τοῦ θανάτου τὴν ἐξουσίαν, τοῦτο δὲ καὶ εἰς αἰσχύνην τοῦ ἀνθρωποκτόνου ἐχθροῦ, τοῦ πρὸς ἀναίρεσίν μου τεχναζομένου ἢ καὶ τοῦ προκειμένου ἔργου παρεμποδίσαι με θέλοντος. Ἀλλ' ἔγωγε τότε μᾶλλον πρὸς Θεοῦ νεανικήν τινὰ ἰσχὺν καὶ προθυμίαν προσειληφώς, οὐχ ὡς γηραιὸς λοιπόν, ἀλλ' ὡς ἀκμάζων νεανίας ἐλάξευον καθ' ἡμέραν· εἰ καί τινες τῶν ἐμῶν φοιτητῶν τὴν οἰκείαν ἐπιμέμφεσθαι ἀκμήν, ὡς τῆς γηραιᾶς μὴ ἐχούσης τὴν προθυμίαν καὶ ἰσχύν.

Ἐκείνου δὲ ὄπισθεν τοῦ μιαιφόνου λίθου, τρεῖς ἐναπέκειντο λίθοι, βραχύτεροι τῇ ποσότητι καὶ οὐχὶ τυχοῦσα ἀπορία καὶ πάλιν παρῆν. Καὶ ἐκ τῶν δύο ἤδη πάντως γενέσθαι τὸ ἕν, τουτέστιν, εἴτε ἀποσπασθῆναι καὶ κάτω ἀπορριφῆναι, διὰ τὸ ἔρεισμα μὴ ἔχειν καὶ πολλὴν ἐν τοῖς κάτω γενέσθαι τὴν συντριβήν, οὐ μὴν δὲ ἀλλὰ καὶ τὴν κυπάρισσον καὶ τὸ κλῆμα ἐξαφανίσαι τελείως, ἢ μὴ ἀποσπασθῆναι καὶ καταλειφθῆναι τὸ ἔργον ἡμιτελές.

Ἐν τῇ οὖν ἀπορίᾳ ταύτῃ, τί ἔδει με ποιῆσαι ἢ πάντως πρὸς τὸν Κτίστην τῶν ὅλων καὶ Θεὸν ἀναθέσθαι τὸ πᾶν καὶ τὸ πανσθενὲς Χριστοῦ καὶ Παντοκράτορος ἐπικαλέσασθαι Ὄνομα. Ὅπερ δὴ καὶ δράσας, οὐ διήμαρτον τῆς προθέσεως· ὀφθαλμοὺς γὰρ καὶ καρδίαν καὶ διάνοιαν ἄρας πρὸς οὐρανόν, τὴν θείαν προσελιπάρουν εὐμένειαν ἐκτενῶς, τοῦ μὴ ἀποτυχεῖν με τοῦ προκειμένου σκοποῦ καὶ μεγαλαυχήσῃ ὁ πονηρὸς καὶ κακομήχανος δαίμων ἐκεῖνος. Ὅθεν μετὰ τὴν ἱκεσίαν, τῷ λίθῳ στραφεὶς καὶ τῷ δεσποτικῷ σημείῳ κατασφραγίσας καὶ ὡς ἐμψύχῳ τούτῳ διαλεχθεὶς καὶ ἐπιτιμήσας, ἔφην· Σοὶ λέγω τῷ λίθῳ τῷ ἀψύχῳ καὶ σοὶ ἐπιτιμῶ τῷ φοβερῷ ὀνόματι τοῦ Χριστοῦ, ᾧ πᾶσα κτίσις ἔμψυχός τε καὶ ἄψυχος ἅμα φρίττει καὶ τρέμει ὡς Κτίστῃ καὶ Δημιουργῷ καὶ ὑπείκει δουλοπρεπῶς, καὶ εἰ πάντα δι' αὐτοῦ ἐγένοντο ὅσα δὴ καὶ ἐγένετο, πάντως δι' αὐτοῦ γέγονας καὶ αὐτός, καὶ τῷ τούτου ὀνόματι πεδηθείς, στῆθι καὶ κάτω μὴ ἀπορριφῇς μηδὲ δράσεις κακόν· ὅτι αὐτοῦ ἐστι τὸ κράτος καὶ ἡ δυναστεία καὶ ἡ δόξα, σὺν τῷ ἀνάρχῳ καὶ ὁμοουσίῳ Πατρὶ αὐτοῦ καὶ τῷ ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας. Ἀμήν.

Ταῦτα δὲ ἐξειπών, καὶ διὰ τοῦ ὀρυκτηρίου ἀποσπάσας τὸν λίθον, ἀνεμποδίστως ὑπήγετο πρὸς τὰ κάτω καί, ὅτε τὸ ἥμισυ αὐτοῦ ἔξω ἐκρεμάσθη, τὸ ἐπίλοιπον αὐτοῦ, ὥσπερ ἑδραιωθὲν ἐν βραχυτάτῳ τόπῳ καὶ μηδὲν σπιθαμῆς ἔχοντος πλεῖον, ὃν ἡ Χριστοῦ δύναμις κατασχοῦσα, οὐ συνεχώρησεν πρὸς τὸ κάταντες, ἔνθεν κἀγὼ θάρσος θεῖον ἀναλαβών, καὶ τὸν ἕτερον ἀπέσπασα λίθον. Κατεσχέθη δὲ καὶ αὐτὸς ἐπάνω τοῦ ἑτέρου αὐτοῦ. Εἶτα καὶ ὁ ἄλλος ἀποσπασθεὶς κρατεῖται καὶ αὐτὸς Χριστοῦ χάριτι. Κἀγὼ ἀγαλλιασθείς, ἔδωκα δόξαν τῷ Θεῷ, καὶ φωνήσας τοὺς ἀδελφούς, ἀνήλθοσαν μετὰ σχοίνου, δι' οὗ καὶ ἀποδήσαντες τὸν πρῶτον λίθον, ἔξω κρεμάμενον, κατεκόψαμεν τοὺς δύο καὶ ἐβάλομεν ἔξω. Καὶ εἶθ' οὕτως τὸν δεδεμένον· καὶ ἔκτοτε μικρᾶς γενομένης εὐρυχωρίας, κατὰ μικρὸν ἐλαξεύομεν.

Ἐπεὶ δὲ σκληρὸν καὶ τελείως ἄτμητον πεφθάκαμεν λίθον καὶ τῶν ἁγίων ἡμερῶν τῆς ἀμώμου νηστείας ἐφεστήκει καιρός, ἐσχολάσαμεν καὶ ἡμεῖς ἄχρι καὶ τοῦ θεοφόρου Πάσχα. Καὶ πάλιν εἰχόμην τοῦ ἔργου πρὸς ἀναπλήρωσιν τῶν παραλειπομένων, καὶ τέλος εἴληφε τὸ μικρὸν παρακέλλιον ἐκεῖνο. Ἦν δὲ καὶ μικρὸν ἄπωθεν τῶν προρρηθέντων λίθων καὶ ἕτερος λίθος μετέωρος καὶ ἐπηρμένος ἀθρόως, πτῶσιν καὶ αὐτὸς προσαπειλῶν καὶ ζημίαν οὐ τὴν τυχοῦσαν καὶ συντριβὴν τῶν κατωτέρων αὐτοῦ μερῶν. Καὶ ἐπειδὴ οὐκ ἦν δέον ἐκ τοῦ ὕψους ἐκείνου κατενεχθῆναι δι' ἡμῶν, δέον ἦν λοιπὸν ἰκρίωμά τι οἰκοδομηθῆναι ὑποκάτωθεν αὐτοῦ καὶ αὐτὸν κατασχεῖν· ὅπερ ἐδράσαμεν ἤδη,

καὶ φαίνεται.

Ἔλαχε δὲ καὶ πρὸς τὸ βόρειον αὐτοῦ μέρος γωνία τις πάνυ ἀνεπιτήδειος φαινομένη καὶ δύσκολος· οὐ δίκαιον κέκρικα ταύτην παραδραμεῖν ἀτημέλητον, τοῦ μὴ καὶ ταύτην ἐγκαλλωπίσαι μικρόν. Ἔνθεν καὶ τὴν ταύτης γλυφὴν ἐπεχείρησα ἐν ἐπισήμῳ ἡμέρᾳ· λέγω δὴ ἐν τῇ κδ΄ τοῦ Ἰουνίου μηνός, καθ' ἣν καὶ ἐκτελοῦμεν τὸ θεῖον γενέθλιον τοῦ θείου Προδρόμου Ἰωάννου, διὸ καὶ χαριέντως ἐξεῖπον ἔγωγε τότε, ὅτι καὶ ταύτην τὴν διορυγὴν ἔχω ἀποκαλέσαι σπήλαιον τοῦ Προδρόμου.

Εἶτα, ἡμέρας τινὰς διορύξαντες, εὑρίσκομεν ἔν τινι λίθῳ γεγλυμμένα τεχνικὰ καὶ καλόγραφα γράμματα τρία: Κάππα δὲ ἦν τὸ πρότερον, Σταυρὸς δὲ τὸ δεύτερον, Χῖ δὲ τὸ τρίτον. Ἐθαυμάσαμεν ἐπὶ τούτοις, καὶ σημεῖον χρηστὸν ἐφωράσαμεν τοῦτο, ὅτι Κυρίου Σταυρὸν καὶ Κυρίου χεῖρα, κατὰ τὸν ἐμὸν νοῦν, ἔδοξεν ἡ σύγκρισις τῶν γραμμάτων. Χεὶρ γὰρ Κυρίου ἦν ἀριδήλως ἡ φρουροῦσα ἡμᾶς διὰ σταυροῦ ἐκ τῆς σκαιωρίας τοῦ Σατανᾶ καὶ νευροῦσα καὶ δρῶσα τὰ δύσκολα εὔκολα. Εἶτα πάλιν, ἡμέρας λελαξευκότες τινὰς καὶ τὴν γλυφὴν ἄρτι μεσοπορήσαντες ἤδη, ἕτερα καὶ αὖθις δύο εὑρήκαμεν γράμματα, ἅτινα ἦσαν καὶ ταῦτα: Ἰῶτα καὶ Πῖ, ὧν ἡ ἐπίλυσις ἀνυποστόλως Ἰωάννην παρεδήλου τὸν Πρόδρομον, οὗ καὶ τὸ σπήλαιον προωνομάσθη καὶ ὁ χαρακτὴρ ἐνιστορήθη τρανῶς. Οἱ δὲ τὰ γράμματα παρακατέχοντες λίθοι εἰς τὴν οἰκοδομὴν τοῦ αὐτοῦ τοίχου ἐναπετέθησαν, ἔνθα ὁ Πρόδρομος, καὶ διὰ τὸ καλυφθῆναι αὐτὰ διὰ τιτάνεως, τὰ ἴσα τούτων γεγραφήκαμεν ἐν τῷ σπηλαίῳ, κατὰ τὸ ἴσον τοῦ τόπου, ἔνθα καὶ εὑρέθησαν.

Καὶ σὺν Θεῷ εἴληφε τέλος καὶ τόδε τὸ σπήλαιον, ὃ καὶ θεάσεις, ὅτε ἥξεις ἐνθάδε, κατὰ τὸ σὸν ἐφετόν, καὶ δοξάσεις, ὡς πολλοί, καὶ αὐτὸς τὸν ἐν Τριάδι Θεόν· δι' οὗ παρήχθη τὸ πᾶν καὶ συνέχεται κάλλιστα, δι' οὗ τὰ ἐγκόσμια τά τε οὐράνια καὶ τὰ ἐπίγεια καὶ τὰ καταχθόνια πάντα, θάλασσά τε καὶ ποταμοὶ σὺν ταῖς πηγαῖς, καὶ πάντα τὰ ἐν αὐτοῖς, ἔσχηκε τὸ εἶναι, ἤτοι πτηνῶν, νηκτῶν, θηρίων, ἑρπετῶν καὶ κτηνῶν τὰς ἀγέλας καὶ τῶν ἀνθρώπων, ἵνα ἐκ πάντων καὶ διὰ πάντων καὶ πασῶν ὑμνῆται, εὐλογῆται καὶ δοξάζηται ἀξιοχρέως ὁ Πατήρ, ὁ Υἱὸς καὶ Πνεῦμα τὸ ἅγιον, καὶ νῦν καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῆς ὁσίας μητρὸς ἡμῶν Ξένης καὶ τῶν δύο αὐτῆς θεραπαινίδων.

Στίχοι.

Ἀποξενοῦται τοῦδε τοῦ βίου Ξένη,
Οὐ ζῶσα καὶ πρίν, ὡς ἀληθῶς ἦν ξένη.

Θνήσκουσιν ἄμφω τῆς Ξένης αἱ δουλίδες,
Οὐ τῶν ἐκείνης ἀρετῶν οὖσαι ξέναι.

Εἰκάδι οὐρανοῦ εἰς ξενίην Ξένη ἦλθε τετάρτῃ.

Ἡ μακαρία καὶ ἀοίδιμος Ξένη ἐκ τῆς μεγαλοδόξου γέγονε πόλεως Ῥώμης, γένους ἐντίμου καὶ ζηλωτοῦ. Τῶν οὖν γεννητόρων αὐτῆς γάμῳ ταύτην ἐκδοῦναι βουλομένων, καὶ τῶν κατὰ τὸν γάμον πάντων εὐτρεπισθέντων, ἐξ αὐτῆς τῆς παστάδος, μεθ' ἑτέρων γυναικῶν, δύο παιδισκῶν, ἀποφυγοῦσα, καὶ διὰ θαλάσσης τὴν πορείαν ποιησαμένων, ἄλλους ἀμείψασα τόπους, τὴν πόλιν τῶν Μυλασσῶν κατέλαβε. Μᾶλλον δὲ παρὰ τοῦ θεσπεσίου Παύλου τοῦ μοναχοῦ (ὃς αὐτῇ θεόθεν ἐν Ἀλεξανδρείᾳ φανείς, ὁδηγὸς γέγονε τῶν κρειττόνων), εἰς τὴν τοιαύτην πόλιν κατέστη. Ἔνθα μικρὸν εὐκτήριον ἐπ' ὀνόματι τοῦ ἁγίου πρωτομάρτυρος Στεφάνου πηξαμένη, ἅμα ταῖς δυσὶ θεραπαινίσι καί τινων ὀλίγων Παρθένων συνελθουσῶν, πολλὴν ἄσκησιν ἐπεδείξατο διὰ πάσης καρτερίας καὶ ἀποχῆς, τῶν κατ' αἴσθησιν ἡδονῶν, εἰς τὴν οὐράνιον ἑαυτὴν ἄγουσα πολιτείαν.

Καλῶς οὖν διεξελθοῦσα τὸν βίον, μετὰ τὴν ὁσίαν ἐκείνην καὶ μακαρίαν τελευτήν, ἄνωθεν ἔσχε τὴν μαρτυρίαν. Καὶ γὰρ μεσούσης ἡμέρας, ἡλίου κατὰ γῆν φωτίζοντος, δι' ἀστέρων ὤφθη Σταυρός· ὃν συνέκλειε καὶ εἰς τὸ μέσον συνεῖχεν ἕτερος ἀστέρων χορός, ὥστε δοκεῖν στέφανον αὐτὸν εἶναι τῆς μακαρίας, τῆς μακρᾶς ἕνεκα νηστείας καὶ ἀγρυπνίας καὶ ἀφθορίας ἀντιδοθέντα αὐτῇ πρὸς Θεοῦ. Καὶ τοῦτο δῆλον, ὅτι τῇ τοῦ λειψάνου ταύτης ὑπὸ γῆν ἀποθέσει, οὐκέτι θεατὸς ἦν ὁ τῶν ἀστέρων χορός τε καὶ κύκλος. Ἐγνώσθη δὲ τὰ κατὰ τὴν Ὁσίαν, μιᾶς τῶν θεραπαινίδων αὐτῆς, ἐν τῷ μέλλειν τελευτᾶν, διηγησαμένης τὴν τῆς μακαρίας πατρίδα καὶ τὸ τοῦ γένους ἐπίσημον, καὶ τὴν ἐκ γονέων προσηγορίαν. Εὐσεβία γὰρ ἐκαλεῖτο καὶ ὅτι λαθεῖν σπουδάζουσα, Ξένην ἑαυτὴν ἐπωνόμασεν.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν ἐν ἁγίοις πατέρων ἡμῶν Θεοπρόβου καὶ Φίλωνος, ἐπισκόπων γενομένων τῆς κατὰ Κύπρον πόλεως Καρπασίου.

Στίχοι.

Προβὰς ἀρετῶν Θεόπροβος εἰς ὕψος,
Θεῷ παρέστη ληψόμενος τὰ γέρα.

Φῦλον βροτῶν προσῆξε τῷ Χριστῷ Φίλων,
Ἅτε πρὸς αὐτοῦ προσλαβὼν θείαν χάριν.

Εἰκάδι ἀμφὶ τετάρτῃ ποιμένες ἐσθλοὶ λυγρὸν ἔλιπον βίον.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν ἁγίων μαρτύρων Παύλου, Παυσιρίου καὶ Θεοδοτίωνος τῶν αὐταδέλφων.

Στίχοι.

Παυσίριον καὶ Παῦλον, ἄμφω συγγόνους,
Ποτάμιος ῥοῦς καὶ συνάθλους δεικνύει.

Ἰδοὺ τράχηλος, ἐλθέτω δὴ τὸ ξίφος,
Θεὸν ποθῶν ἔκραζε Θεοδοτίων.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ ἁγίου ἱερομάρτυρος Βαβύλα τοῦ ἐν Σικελίᾳ καὶ Τιμοθέου καὶ Ἀγαπίου τῶν μαθητῶν αὐτοῦ.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Μακεδονίου.

ΣΤΙΧΟΙ.

ΜΟΝῶν ἀπείρων πατρικῆς σῆς οἰκίας
Μακεδόνιος, Χριστέ, λαμβάνει μίαν.

Τῇ αὐτῇ ἡμέρᾳ, Ἡ ἀνακομιδὴ τῶν λειψάνων τοῦ ἁγίου ὁσιομάρτυρος Ἀναστασίου τοῦ Πέρσου.

Στίχοι.

Στεφθείς, Ἀναστάσιε, τῶν ἄθλων χάριν,
παρέσχες ἡμῖν λειψάνων σῶν τὴν χάριν.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν ἁγίων μαρτύρων Ἑρμογένους καὶ Μηνᾶ, τοῦ ὁσίου πατρὸς ἡμῶν Φιλίππου Πρεσβυτέρου καὶ τοῦ ἁγίου μάρτυρος Βαρσίμου καὶ τῶν δύο αὐτοῦ ἀδελφῶν.

Στίχοι.

Τοὺς τρεῖς Ἀδελφοὺς θεῖος εἷς συσχὼν πόθος,
Θεῖον ποθεῖν ἔπειθεν ἐκ ξίφους τέλος.

Τῇ αὐτῇ ἡμέρᾳ, Ὁ ἅγιος Ἑλλάδιος ὁ Κομενταρήσιος ξίφει τελειοῦται.

Στίχοι.

Ὑπὸ ξίφος θεὶς Ἑλλάδιος αὐχένα,
Ἑλληνικῆς ἔπαρσιν ᾔσχυνε πλάνης.

Τῇ αὐτῇ ἡμέρᾳ, Ὁ ὅσιος Ζωσιμᾶς ἐν εἰρήνῃ τελειοῦται.

Στίχοι.

Τίς τοὺς μακρούς σου, Ζωσιμᾶ, φράσει πόνους;
Καὶ τίς θανόντος τῶν πόνων σου τὰ στέφη;

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ ἁγίου προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου, πλησίον τοῦ Ταύρου.

Στίχοι.

Ἐμή σε γλῶσσα, κῆρυξ, πῶς ἂν αἰνέσῃ,
Ὅν γλῶσσα Χριστοῦ γηγενῶν μείζω λέγει;

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ΄.

Τοῦ Ὁσίου.

Θεοῦ συγκατάβασιν.

Ῥυσάμενος Κύριε, τὸν σὸν οἰκέτην ἀπὸ τὸν θάνατον, προσκυνοῦντες ὑμνοῦμεν, τὴν ὀξυτάτην ἐπικουρίαν σου, ἣν ἐνεδείξω πρὸς τοῦτον καὶ κράζομεν· Εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Ἱκέσιον Κύριε, δοξολογίαν ὑπὲρ τοῦ θαύματος, οὗ εἰργάσω μεγίστου, μετ᾽ εὐφροσύνης εἰς τὸν οἰκέτην σου, εὐσεβοφρόνως προσάγοντες ψάλλομεν· Εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Σημεῖα καὶ τέρατα, πολλὰ καὶ μέγιστα ἐκτετέλεκας, πανακήρατε Λόγε, εἰς τὸν πιστόν σου πάλαι θεράποντα· νῦν δὲ ἐκ θανάτου τὸν δοῦλόν σου, ἔσωσας ὡς ἀληθὴς ἀρωγός, τούτου καὶ πρύτανις.

Θεοτοκίον.

Τὴν πᾶσαν ἐλπίδα μου, ὁ σὸς οἰκέτης ἔκραζε Δέσποινα, εἰς τὴν σκέπην σου ὅλην, ἐκκατοδύνως προανατίθημι, καὶ ὡς ὀξεῖα ἀντίληψις, σῶσόν με ἐκ τοῦ πικροῦ καὶ δεινοῦ, πότμου πανάμωμε.

Τῆς Ὁσίας.

Ὁ τοὺς Παῖδας δροσίσας.

Τοῖς σπαργάνοις ἡ Ῥώμη ἐγκαυχᾶται, ἡ δὲ Μύλασσα πλέον σου, τὸ λείψανον κεκτημένη, ἐξ οὗ πηγάζεις θαύματα, τοῖς πιστοῖς Θεονύμφευτε.

Ποταμὸς ἀνεδείχθης ἰαμάτων, παθημάτων θαλάσσας κατακλύζων· Εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας Κύριε, ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Κατεκοίμησας πάθη ψυχοφθόρα, ἐν πολλαῖς ἀγρυπνίαις Μακαρία, καὶ τὸν δικαίοις πρέποντα ὕπνον ὕπνωσας, ὑπὲρ τοῦ κόσμου πρεσβεύουσα.

Θεοτοκίον.

Τὸν ἐκ σοῦ σαρκωθέντα ὑπὲρ λόγον, δυσωποῦσα μὴ παύσῃ ὑπερύμνητε Θεοτόκε, ἐκ τῶν παγίδων ῥύσασθαι, τοῦ ἐχθροῦ τὰς ψυχὰς ἡμῶν.

Ὠδὴ η΄.

Τοῦ Ὁσίου.

Ἑπταπλασίως κάμινον.

Ὡς πολλαχῶς ἐρώμενος, ὁ οἰκέτης σου Δέσποτα, τῆς ἱερωτάτης, ἡσυχίας ἄνωθεν, τῆς τούτου Ἐγκλείστρας τε, περιχαρῶς ἀνέδραμε, καὶ ὡς φιλεργός, φιλοπονῶν ἀνεγείρει, φιλόπονος μελίττη, ἱερὸν ἄλλον σίμβλον, εἰς σὴν δοξολογίαν, εἰς πάντας τοὺς αἰῶνας.

Μὴ ἀποστῇς μου Κύριε, ὁ οἰκέτης σου ἔκραζεν, ἀλλὰ τῆς φωνῆς μου, τῆς οἰκτρᾶς εἰσάκουσον, καὶ πρόσχες τὴν δέησιν, ἣν ἐκτενῶς προσάγω σοι, ἐν τῷ τὴν καρδίαν μου ὀχλεῖσθαι καὶ στένειν, εἰς πέτραν ὑψωθῆναι καθοδήγησον ταύτην· ἐλπίς μου γὰρ ὑπάρχεις καὶ πύργος σωτηρίας.

Ὁ κατοικῶν Πανύψιστε, ὁ θεράπων σου ἔλεγεν, ἐν τῇ ἀληθείᾳ, τῇ πολλῇ καὶ σκέπῃ σου, πιστῶς αὐλιζόμενος, οὐ φοβηθήσει ἔνεδρα, τῶν νυκτερινῶν, μεσημβρινῶν δαιμονίων, ἢ ἄλλων ἐναντίων, ἐξ ὧν τῆς τούτων βλάβης, κἀμὲ Σωτήρ μου ῥῦσον, εὐσπλάγχνῳ σου ἐλέει.

Θεοτοκίον.

Ὑμνολογοῦμεν Δέσποινα, καὶ αἰνοῦμεν τὸ κράτος σου, σὺν τῷ Γαβριήλ, καὶ Μιχαὴλ τοῖς ἄρχουσι, τῶν ἄνω Δυνάμεων, καὶ τῷ πανσέπτῳ θείῳ Σταυρῷ, ὅτι τε καὶ μόνην προσκληθεῖσαν πανδείνου, πικροῦ καὶ ὀλεθρίου, συμπτώματος τὸν λάτριν, θερμὸν ὑμῶν οἰκέτην, ἐρρύσασθε ὀξέως.

Τῆς Ὁσίας.

Ὁ στεγάζων ἐν ὕδασι.

Ἁρμοσθεῖσα ὡς γέγραπται, ἑνὶ ἀνδρὶ τῷ Χριστῷ, τῷ ὡραίῳ κάλλει, πᾶσαν ἰδέαν ἀρετῶν εὐσεβῶς, ἤσκησας Ἔνδοξε, καὶ πρὸς θάλαμον θεῖον, εἰσῳκίσθης προῖκα δεξαμένη, χάριν ἰαμάτων, εἰς πάντας τοὺς αἰῶνας.

Ἡ ψυχή μου ὀπίσω σου, προσεκολλήθη Χριστέ, ἀνεβόας πόθῳ, ὡς γῆ διψῶσα· σὲ τὸ ὕδωρ τὸ ζῶν, ἐκζητῶ Κύριε· σοὶ τοὺς ὄμβρους προσφέρω τῶν δακρύων, σῆς ἀγάπης ῥεῖθρα, πότισόν με Σῶτερ, εἰς πάντας τοὺς αἰῶνας.

Ὡραιώθης ποθήσασα, τὸ ὄντως ὂν ἐφετόν, ἐδοξάσθης Κόρη, δεδοξασμένῳ κολληθεῖσα Χριστῷ· σὺ χορὸν ἅγιον, προσηγάγω παρθένων, τῷ Σωτῆρι σὲ μιμησαμένων· μεθ' ὧν εἰς τὰς ἄνω, χορεύεις κατοικίας.

Θεοτοκίον.

Μόνην σε ἐξελέξατο, τὴν καλλονὴν Ἰακώβ, τοῦ Πατρὸς ὁ Λόγος, καὶ σοῦ ἐν μέσῳ κατεσκήνωσε· καὶ ὡς ηὐδόκησεν, ὑπὲρ πάντας ὡραῖος, τοὺς ἀνθρώπους Πάναγνε προῆλθε, τὴν ἀμαυρωθεῖσαν, ἡμῶν καθᾶραι φύσιν.

Ὠδὴ θ΄.

Τοῦ Ὁσίου.

Ἐξέστη ἐπὶ τούτῳ ὁ οὐρανός.

Ἱλέῳ δή σου ὄμματι ὁ Θεός, ἐπιβλέπων ἐπίβλεπε ἔλεγεν, ὁ σὸς ἐσθλός, ταύτην τὴν Ἐγκλείστραν μου εὐμενῶς· καὶ γὰρ ὡς δῶρον ἅγιον,

ταύτην σοι προσάγω καὶ ἀσφαλῶς, ἐκ πάσης ἐπηρείας, συντήρει μετὰ πάντων, τῶν ἐν αὐτῇ δοξολογούντων σε.

Ὢ θαύματος μεγίστου τε καὶ καινοῦ, καὶ παντὸς καινοτέρου καινότερον, ὅπερ φρικτῶς, Δέσποτα τετέλεκας εἰς τὸν σόν, μύστην καὶ λάτριν Ἔγκλειστον· τοῦτον γὰρ ἐρρύσω ὡς φοινικοῦν, μεγίστου ξένου λίθου, καὶ λόφου τε κρημνώδους, ὡς ἀγαθὸς καὶ παντοδύναμος.

Ἀνοίγωμεν σοι στόμα Παμβασιλεῦ, καὶ τὸν νοῦν καὶ τὰς χεῖρας ἐκτείνωμεν, γλώττῃ ψυχῶν, ὄμμασι καὶ χείλεσι μετ᾽ ᾠδῆς, παντευχαρίστως ἄγωμεν, δόξαν ὑμνῳδίαν ὑπὲρ τοῦ σοῦ, ἐγκλείστου Νεοφύτου, δι᾽ ὧν τοῦτον ἐρρύσω, ξένου θανάτου ὡς φιλάγαθος.

Ναμάτων ζωηρρύτων ἐμφορηθέν, τὸ τοῦ Πνεύματος στόμα Νεόφυτε, ὡς ἀληθῶς· ὅθεν καὶ ἡ γλῶσσά σου ψαλμικῶς, ὀξυγραφοῦσα κάλαμος, ὤφθη γραμματέως ὀξυγραφῶν, θεόβρυτα καὶ θεῖα, διδάγματα τοῖς πόθῳ, ἐμμελετῶσι εἰς ὠφέλειαν.

Θεοτοκίον.

Ὑμνοῦμέν σε, Παρθένε Μήτηρ Θεοῦ, σὺν ταῖς ἄνωθεν θείαις Δυνάμεσιν, τῷ Μιχαήλ, ἅμα τε σὺν τούτῳ τῷ Γαβριήλ, τῷ τοῦ Κυρίου κήρυκι, μύστῃ καὶ Προδρόμῳ καὶ Βαπτιστῇ, Σταυρῷ τῷ τοῦ Κυρίου, τῷ θείῳ Χρυσοστόμῳ, ὡς τοῦ Ἐγκλείστου ἀντιλήπτορας.

Τῆς Ὁσίας.

Εὐλογητὸς ὁ Κύριος.

Δι᾽ ἀσθενείας Ἔνδοξε, τὸν ἀνίσχυρον ἐχθρόν, ἐτροπώσω ξένην μετελθοῦσα ζωήν, καὶ πάθη σαρκὸς θανατώσασα· καὶ νῦν οὐρανοὺς περιπολεῖς, ἔνθα τὸ σὸν ὑπῆρχεν, ἀληθῶς πολίτευμα, ὡς ἁγνὴ παρθένος.

Εὐλογητὸς ὁ Κύριος, ὁ λιμένα γαληνόν, ἰαμάτων δείξας τὴν σεπτήν σου σορόν, τοῖς ἀεὶ κινδυνεύουσι πελάγει, καὶ ζάλῃ τῶν παθῶν, μοναζουσῶν τὸ κλέος, καὶ παρθένων καύχημα, θεοφόρε Ξένη.

Τῶν ἐφετῶν ἀκρότατον, καθαρώτερον ὁρᾷς, θεουμένη λάμψεσι ταῖς θείαις Ἁγνή· ὁρᾷς δὲ ἃ βλέπουσιν Ἄγγελοι· χορεύεις σὺν πᾶσιν ἐκλεκτοῖς, ἁμαρτημάτων λύσιν, αἰτουμένη πάντοτε, τοῖς σὲ εὐφημοῦσιν.

Ὡς παρθενίας τέμενος, ὡς ἁγνὴν περιστεράν, ὡς τρυγόνα ἄμωμον, ὡς νύμφην Χριστοῦ, ὡραίαν καλήν σε καὶ ἄμεμπτον, ὡς ἄγαλμα θείων ἀρετῶν, ὡς κῆπον κεκλεισμένον, οἱ πιστοὶ γεραίρομεν, θεοφόρε Ξένη.

Θεοτοκίον.

Ῥήμασι σοῖς ἑπόμενοι, γενεαὶ τῶν γενεῶν, Μαρία σὲ μακαριοῦμεν ἀεί. Θεὸν γὰρ τὸν ὄντως μακάριον, ἐκύησας ἄχραντε Ἁγνή, τὸν πάντας μακαρίους, τοὺς αὐτῷ δουλεύοντας, ἀψευδῶς ποιοῦντα.

Ἐξαποστειλάριον.

Τοῦ Ὁσίου.

Γυναῖκες ἀκουτίσθητε.

Τὴν ἄκραν ἀγαθότητα, Θεοῦ τοῦ πανοικτίρμονος, δεῦτε συμφώνως μοι φίλοι, ὕμνοις δοξάσωμεν θείοις· τὸν γὰρ αὐτοῦ θεράποντα, Νεόφυτον τὸν Ἔγκλειστον, πότμου δεινοῦ ἐκ πτώσεως, ἐν τῷ κρημνῷ θείῳ σθένει, ἐρρύσατο φιλανθρώπως.

Τῆς Ὁσίας. Ὅμοιον.

Ξενίαν τὴν οὐράνιον, ποθοῦσα Ξένη πάνσεμνε, ξένην σαυτὴν θεοφόρε, πατρίδος πλούτου καὶ γένους, φιλευσεβῶς πεποίηκας, καὶ τὸν σταυρόν σου ἄρασα, Χριστῷ προθύμως ἔδραμες, τῷ ξενοτρόπως ἐλθόντι, σῶσαι βροτοὺς ἐκ Παρθένου.

Θεοτοκίον.

Παρθένε παναμώμητε, Κυρία μου καὶ Δέσποινα, τὸν σὸν Υἱὸν ἐκδυσώπει, σὺν τῷ κλεινῷ Νεοφύτῳ, πειρατηρίων ῥύσασθαι, παντοίων τοὺς ὑμνοῦντάς σε, καὶ αἰωνίων τεύξασθαι, τῶν ἀγαθῶν Θεοτόκε· δύνασαι γὰρ ὅσα θέλεις.

Εἰς τοὺς Αἴνους.

Ἱστῶμεν Στίχους δ΄, καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια.

Ἦχος πλ. δ΄. Ὢ τοῦ παραδόξου θαύματος.

Δεῦτε συμφώνως δοξάσωμεν, τὸν ζωοδότην Χριστόν, τὸν ζωὴν χαρισάμενον, καὶ ζωὴν βραβεύσαντα, ζωηρὰν καὶ ἀνόλεθρον, τῷ τούτου θείῳ πιστῷ θεράποντι· καὶ γὰρ ἐκ λίθου αὐτὸν διέσωσε, θανατηφόρου τε, καὶ κρημνοῦ κυλίσματος· ὅθεν αὐτῷ, δόξαν ἀναπέμψωμεν, ὡς πανοικτίρμονι.

Δεῦτε προθύμως προσπέσωμεν, τῷ πανυψίστῳ Χριστῷ, βασιλεῖ καὶ Θεῷ ἡμῶν, γηθοσύνως κράζοντες, προσκυνοῦντες καὶ λέγοντες· ὑμνοῦμεν Σῶτερ τὴν δυναστείαν σου, ὑμνοῦμεν ὅτι τὸν σὸν θεράποντα, καὶ ἱερώτατον, δοῦλόν σου τὸν Ἔγκλειστον, τοῦ φονικοῦ, λίθου ἠλευθέρωσας, ὡς παντοδύναμος.

Ἄναρχε ἄκτιστε σύνθρονε, πανσθενεστάτη Τριάς, καὶ Μονὰς ὁ Θεὸς ἡμῶν, ἡ πολλὰ τεράστια, εἰς τοὺς δούλους σου δράσασα· Δαυῒδ ἐρρύσω Σαοὺλ δεινότητος, Ἠλίαν μόρου δεινοῦ γυναίου τε, καὶ ταῦτα πάλαι μέν· τὰ νῦν δὲ τὸν Ἔγκλειστον, τοῦ χαλεποῦ, πτώματος διέσωσας, ὡς ὑπεράγαθος.

Ξένα Χριστὲ καὶ παράδοξα, πάλαι εἰργάσω φρικτά, καὶ μεγάλα τεράστια· τοῦ Μωσέως ῥάβδῳ γάρ, ἀπετείχισας θάλασσαν, καὶ ἄλλα ῥεῖθρα τοῦ Ἰορδάνου τε, ἀρρήτῳ σθένει ἐναπεκόλπωσας, λίθον δὲ σήμερον, παλαμναῖον ἔστησας, ἵνα τὸν σόν, δοῦλον μὴ λυμήνηται, ἐκ τῆς τοῦ πρόσω φορᾶς.

Δόξα... Καὶ νῦν... Ἦχος β΄.

Πρὸς Σήμερον ὁ Χριστός.

Σήμερον ὁ Χριστὸς τὸν ἑαυτοῦ οἰκέτην μεγαλύνει· σήμερον τὸν ἑαυτοῦ θεράποντα, ξένου μόρου λυτροῦται· αἱ Δυνάμεις τῶν οὐρανῶν ἐσκίρτησαν, καὶ ἡ γῆ σὺν τῇ Ἐγκλείστρᾳ εὐφραίνεται, καὶ ὕμνους ὁσίως εὐφροσύνους, προσφέρει πρὸς Κύριον καὶ τὴν τούτου Μητέρα· ἡμεῖς δὲ ἀκαταπαύστως βοῶμεν· Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.

Δοξολογία Μεγάλη, καὶ Ἀπόλυσις.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ.

Τὰ Τυπικά, οἱ Μακαρισμοί, καὶ ἐκ τῶν Κανόνων ᾠδὴ γ΄ τῆς Θεοσημείας καὶ ᾠδὴ ς΄ τῆς Ὁσίας.

Ὁ Ἀπόστολος.

Προκείμενον, Ἦχος βαρύς, (Ψαλμ. ος΄).

Τίς Θεὸς μέγας ὡς ὁ Θεὸς ἡμῶν;

Στίχ. Ἐγνώρισας ἐν τοῖς λαοῖς τὴν δύναμίν σου.

**Πρὸς Κορινθίους Β΄ Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.**

(Κεφ. α΄ 8-11).

(Ζήτει τῷ Σαββάτῳ τῆς Κ΄ Ἑβδομάδος Ἐπιστολῶν).

Ἀδελφοί, οὐ θέλομεν ὑμᾶς ἀγνοεῖν ὑπὲρ τῆς θλίψεως ἡμῶν τῆς γενομένης ἡμῖν ἐν τῇ Ἀσίᾳ, ὅτι καθ᾿ ὑπερβολὴν ἐβαρήθημεν ὑπὲρ δύναμιν, ὥστε ἐξαπορηθῆναι ἡμᾶς καὶ τοῦ ζῆν· ἀλλὰ αὐτοὶ ἐν ἑαυτοῖς τὸ ἀπόκριμα τοῦ θανάτου ἐσχήκαμεν, ἵνα μὴ πεποιθότες ὦμεν ἐφ᾿ ἑαυτοῖς, ἀλλ᾿ ἐπὶ τῷ Θεῷ τῷ ἐγείροντι τοὺς νεκρούς· ὃς ἐκ τηλικούτου θανάτου ἐρρύσατο ἡμᾶς καὶ ῥύεται, εἰς ὃν ἠλπίκαμεν ὅτι καὶ ἔτι ῥύσεται, συνυπουργούντων καὶ ὑμῶν ὑπὲρ ἡμῶν τῇ δεήσει, ἵνα ἐκ πολλῶν προσώπων τὸ εἰς ἡμᾶς χάρισμα διὰ πολλῶν εὐχαριστηθῇ ὑπὲρ ἡμῶν.

Ἀλληλούϊα (γ΄), Ἦχος πλ. α΄, (Ψαλμ. πη΄, ιζ΄, κς΄).

Στίχ. Τὰ ἐλέη σου, Κύριε, εἰς τὸν αἰῶνα ᾄσομαι.

Ἐν ἡμέρᾳ κακώσεώς μου ἐσκέπασέ με, καὶ ἐν πέτρᾳ ὕψωσέ με.

Τὸ Εὐαγγέλιον.

**Ἐκ τοῦ κατὰ Ματθαῖον.**

(Κεφ. ι΄ 23 - 31).

(Ζήτει τῇ Πέμπτῃ τῆς Γ΄ Ἑβδομάδος Ματθαίου).

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· Ὅταν διώκωσιν ὑμᾶς ἐν τῇ πόλει ταύτῃ, φεύγετε εἰς τὴν ἄλλην...

Κοινωνικόν.

Ἐκέκραξαν οἱ δίκαιοι, καὶ ὁ Κύριος εἰσήκουσεν αὐτῶν, καὶ ἐκ πασῶν τῶν θλίψεων αὐτῶν ἐρρύσατο αὐτούς. Ἀλληλούϊα.

# ΠΗΓΑΙ ΚΑΙ ΒΟΗΘΗΜΑΤΑ

## 1. Πηγαί.

### α) Χειρόγραφοι κώδικες.

1) Χειρόγραφον ἱ. ναοῦ Τιμίου Σταυροῦ Λευκάρων, χαρτ. 0,197 Χ 0,141, περιέχον ἀκολουθίαν τοῦ ἁγίου Ἰωάννου τοῦ Λαμπαδιστοῦ σσ. 1-39, ἀκολουθίαν τοῦ ἁγίου Ἡρακλειδίου σσ. 41-77 καὶ ἀκολουθίαν τῆς ὁσίας Ξένης καὶ τοῦ ὁσίου Νεοφύτου σσ. 79-119 γραφεῖσαν τὸ ἔτος 1716. (Βλ. Ν. Κυριαζῆ, Μοναστήρια ἐν Κύπρῳ, Μοναστήριον ἁγίου Ἰωάννου Λαμπαδιστοῦ, ἐν «Κυπριακὰ Χρονικά», τόμ. ΙΒ΄, 1936, σσ. 350-351, 359, Παλαιογραφικά. Ὁ ναὸς τοῦ Τιμίου Σταυροῦ καὶ ὁ Κῶδιξ τῶν Ἄνω Λευκάρων, ἐν «Κυπριακὰ Χρονικά», τόμ. ΙΓ΄, 1937, σσ. 56-69, Κ.Ν. Κωνσταντινίδου, Δυὸ χειρόγραφα ἀπὸ τὰ Πάνω Λεύκαρα (μὲ τρεῖς πίνακες) ἐν «Ἐπετηρὶς τοῦ Κέντρου Ἐπιστημονικῶν Ἐρευνῶν», τόμ. XII, Λευκωσία 1983, σσ. 185-194).

2) Χειρόγραφον Βιβλιοθήκης Ἱερᾶς Μητροπόλεως Κιτίου ἀρ. 26 (παλ. ἀρ. 75.1), χαρτ. 0,220Χ0,160. φφ. 28, Τεύχη διαφόρων χρονολογιῶν. Ἀκολουθίες ἁγίων. Μεταξὺ αὐτῶν σσ. 69-79 τοῦ ὁσίου Νεοφύτου τοῦ Ἐγκλείστου, ἀντιγραφεῖσα ἐν Λευκωσίᾳ τὸ ἔτος 1849. (Βλ. Ἱερομονάχου Σωφρονίου Μιχαηλίδη, Ἱστορία τῆς κατὰ Κίτιον Ἐκκλησίας, Ἱ. Μητρόπολις Κιτίου, Λάρνακα - Κύπρος 1992, σ. 634).

Σσ. 69-79 Μὴν Ἰαννουάριος κατὰ τὴν κδ΄ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Νεοφύτου τοῦ Ἐγκλείστου.

Σ. 79 Ἐτούτη ἡ φυλλάδα εἶναι τοῦ ἁγίου Ἰωάννου τοῦ Πίπη.

### β) Ἐκδόσεις ἀκολουθιῶν ὁσίου Νεοφύτου Ἐγκλείστου.

1) Ἀκολουθία τοῦ ὁσίου πατρὸς ἡμῶν Νεοφύτου τοῦ Ἐγκλείστου ψαλλομένη κατὰ τὴν ιϐ΄ τοῦ Ἀπριλλίου μηνός, νῦν πρῶτον τύποις ἐκδοθεῖσα προτροπῇ μὲν τοῦ Μακαριωτάτου καὶ Σεβασμιωτάτου Ἀρχιεπισκόπου τῆς Νέας Ἰουστινιανῆς καὶ πάσης Κύπρου κυρίου Χρυσάνθου, διὰ δαπάνης τῶν ἐν τῇ αὐτοῦ Μονῇ πατέρων, τῇ ἐπιστασίᾳ δὲ καὶ διορθώσει τοῦ ταπεινοῦ ἐν ἱερομονάχοις Κυπριανοῦ καὶ τοῦ αὐτοῦ θρόνου Ἀρχιμανδρίτου τοῦ ἐκ Κοιλανίου, πολιτείας.

͵αψοη΄. Ἐνετίησιν, 1778.

Παρὰ Νικολάῳ Γλυκεῖ τῷ ἐξ Ἰωαννίνων.

Con licenza de superiori.

2) Ἀκολουθίαι τοῦ ὁσίου πατρὸς ἡμῶν Νεοφύτου τοῦ Ἐγκλείστου ψαλλόμεναι κατὰ τὴν κδ΄ Ἰανουαρίου καὶ κη΄ Σεπτεμβρίου, ἐξ ὧν ἡ μὲν πρώτη εἶναι ἡ τῆς μνήμης αὐτοῦ, ἡ δὲ δευτέρα ἡ τῆς ἀνακομιδῆς τῆς εὑρέσεως τοῦ λειψάνου του. Ἐκδοθεῖσαι τὸ πρῶτον κατὰ τὸ 1778 ἀρχιερατεύοντος τοῦ ἀοιδίμου Χρυσάνθου. Ἐξαντληθείσης δὲ τῆς ἀπὸ 115 ἤδη ἐτῶν πρώτης ἐκδόσεως, τῇ συγκαταθέσει τοῦ γεραροῦ Μακαριωτάτου Ἀρχιεπισκόπου πάσης Κύπρου κυρίου Σωφρονίου καὶ τῇ προτροπῇ τῶν πατέρων τῆς ἱερᾶς Μονῆς τοῦ Ἁγίου, πολλῶν ἱερέων καὶ εὐσεβῶν χριστιανῶν, ἀνατυποῦται τὸ δεύτερον ἤδη, δαπάναις Περικλέους Μιχαηλίδου.

Ἔκδοσις δευτέρα.

Ἐν Λευκωσίᾳ (Κύπρου), Ἐκ τοῦ τυπογραφείου ὁ «Εὐαγόρας», Α. Π. Μιχαηλίδου, 1893.

3) Ἀκολουθίαι τοῦ ὁσίου πατρὸς ἡμῶν Νεοφύτου τοῦ Ἐγκλείστου ψαλλόμεναι κατὰ τὴν κδ΄ Ἰανουαρίου καὶ κη΄ Σεπτεμβρίου, ἐξ ὧν ἡ μὲν πρώτη εἶναι ἡ τῆς μνήμης αὐτοῦ, ἡ δὲ δευτέρα ἡ τῆς ἀνακομιδῆς τῆς εὑρέσεως τοῦ λειψάνου του. Ἐκδίδονται δαπάνῃ τῆς αὐτοῦ πανοσιολογιότητος τοῦ ἡγουμένου τῆς Μονῆς ἁγίου Νεοφύτου κ/ου Ἰακώβου.

Ἐκ τοῦ ἐν Λάρνακι τυπογραφείου «Ἀθηνᾶς», Σάββα Χατζηαντωνίου, 1912.

4) Ἰωάννου Χρ. Χατζηϊωάννου, Νεοφύτου Πρεσβυτέρου, Μοναχοῦ καὶ Ἐγκλείστου, Ἑρμηνεία εἰς τοὺς Ψαλμούς.

Μέρος Β΄.

Ἐν Ἀθήναις, τύποις Ἐ. Ἰ. Χατζηϊωάννου, 1935.

Σσ. 139-150 Ἀκολουθίαι τοῦ ὁσίου πατρὸς ἡμῶν Νεοφύτου τοῦ Ἐγκλείστου, ψαλλόμεναι κατὰ τὴν ΚΔ΄ Ἰανουαρίου καὶ ΚΗ΄ Σεπτεμβρίου, ἐξ ὧν ἡ μὲν πρώτη εἶναι ἡ τῆς μνήμης αὐτοῦ, ἡ δὲ δευτέρα ἡ τῆς ἀνακομιδῆς τῆς εὑρέσεως τοῦ λειψάνου του.

5) Βίος καὶ αἱ δύο ἀκολουθίαι τοῦ ἁγίου Νεοφύτου τῆς 24ης Ἰανουαρίου καὶ τῆς 28ης Σεπτεμβρίου καὶ τὸ Πατριαρχικὸν Σιγίλλιον τῶν προνομίων τῆς Ἱερᾶς αὐτοῦ Μονῆς, ὑπὸ Ἰωάννου Π. Τσικνοπούλλου, καθηγητοῦ τοῦ Παγκυπρίου Ἐμπορικοῦ Λυκείου Λάρνακος. (Αἱ δύο ἀκολουθίαι καὶ τὸ σιγίλλιον ἀνετυπώθησαν διωρθωμένα ἐκ τῆς ἐκδόσεως τοῦ ἀρχιμανδρίτου Κυπριανοῦ τῆς γενομένης ἐν Ἐνετίᾳ τῷ 1778). Ἐξεδόθη δαπάνῃ τῆς Ἱερᾶς Μονῆς τοῦ Ἁγίου Νεοφύτου, ἐπὶ πανοσιολογιωτάτου ἡγουμένου Λαυρεντίου.

Ἐν Λάρνακι Κύπρου 1953.

6) Αἱ δύο ἀκολουθίαι τοῦ ἁγίου Νεοφύτου τῆς 24ης Ἰανουαρίου καὶ τῆς 28ης Σεπτεμβρίου, ὑπὸ Ἰωάννου Π. Τσικνοπούλλου, καθηγητοῦ τῶν Ἑλληνικῶν Γραμμάτων.

Β΄ ἔκδοσις.

Ἐξεδόθη δαπάνῃ τῆς Ἱερᾶς Μονῆς τοῦ ἁγίου Νεοφύτου, ἐπὶ πανοσιολογιωτάτου ἡγουμένου Χρυσοστόμου.

Ἐν Πάφῳ Κύπρου τῷ 1976.

7) Ἱερᾶς Ἀρχιεπισκοπῆς Κύπρου, Κύπρια Μηναῖα, τόμος Α΄, Μὴν Σεπτέμβριος, Ἐν Λευκωσίᾳ Κύπρου

1994, σσ. 145-157, Σεπτεμβρίου ΚΗ΄, Μνήμη τῆς Ἀνακομιδῆς, ἤτοι τῆς εὑρέσεως τοῦ Λειψάνου τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Νεοφύτου τοῦ Ἐγκλείστου.

8) Ἱεραὶ ἀκολουθίαι τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Νεοφύτου τοῦ Ἐγκλείστου. Ἐποιήθησαν ἐν Ἁγίῳ Ὄρει ὑπὸ Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου Ὑμνογράφου τῆς Μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας.

Ἱερὰ Βασιλικὴ καὶ Σταυροπηγιακὴ Μονὴ Ἁγίου Νεοφύτου, 1997.

9) Ἀκολουθία τῆς Θεοσημείας, ἤτοι τῆς πρὸς τὸν ὅσιον καὶ θεοφόρον πατέρα ἡμῶν Νεόφυτον πρεσβύτερον, μοναχὸν καὶ Ἔγκλειστον γενομένης παραδόξως θείας ἐπικουρίας καὶ ἀώρου θανάτου ἀπαλλαγῆς ἐκ λίθου καὶ κρημνοῦ, ἣν ἐσκαιώρησεν μὲν ὁ παμπόνηρος δαίμων, διεσκέδασε δὲ ὁ πανελεήμων Θεός, ὁ ζωῆς ἔχων καὶ θανάτου τὴν ἐξουσίαν, ψαλλομένη κατὰ τὴν ΚΔ΄ τοῦ Ἰανουαρίου μηνός. Ποίημα Νεοφύτου πρεσβυτέρου, μοναχοῦ καὶ Ἐγκλείστου καὶ τοῦ αὐταδέλφου αὐτοῦ Ἰωάννου τοῦ Χρυσοστομίτου, ἡγουμένου γενομένου τῆς Ἱερᾶς, τοῦ ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου, κατὰ τὸ ὄρος τοῦ Κουτζουβένδη, Μονῆς. Ἐκδοθεῖσα μὲν τῇ φιλευσεβεῖ ἀρωγῇ τοῦ Ἱδρύματος «Ἀναστάσιος Γ. Λεβέντης», ἐπιμελείᾳ δὲ τοῦ θεολόγου δρος Γεωργίου Κ. Χριστοδούλου.

͵αϠϞη΄. Ἐν Λευκωσίᾳ Κύπρου, 1998.

**γ) Ἐκδόσεις Θεοσημείας.**

1) Τυπικὴ σὺν Θεῷ διάταξις καὶ λόγος εἰς τὴν Ἑξαήμερον τοῦ ὁσίου πατρὸς ἡμῶν Νεοφύτου τοῦ Ἐγκλείστου, Πρὸς τοὺς ἐν τῇ αὐτοῦ Μονῇ Ἐγκλείστρᾳ Πατέρας, τῇ κατὰ τὴν Νῆσον Κύπρον, σπουδῇ μὲν καὶ δαπάνῃ τοῦ ὁσιωτάτου ἱερομονάχου, καὶ Οἰκονόμου ἤδη τῆς αὐτῆς Μονῆς Ἰωαννικίου, Ἐπιμελείᾳ δὲ καὶ διορθώσει τοῦ πανοσιωλογιωτάτου (sic) Κυπριανοῦ Ἀρχιμανδρίτου τῆς Ἁγιωτάτης Ἀρχιεπισκοπῆς Κύπρου, τοῦ ἐκ πολιτείας Κοιλανίου.

Νῦν τὸ πρῶτον τύποις ἐκδοθεῖσα.

͵αψοθ΄. Ἐνετίησι, 1779.

Παρὰ Νικολάῳ Γλυκεῖ τῷ ἐξ Ἰωαννίνων.

Con licenza de superiori.

Βιβλιοθήκη Ἱερᾶς Ἀρχιεπισκοπῆς Κύπρου ἀρ. 68/1/Β.

Σσ. 34-46 Νεοφύτου Πρεσβυτέρου, Μοναχοῦ καὶ Ἐγκλείστου, Θεοσημία.

Σσ. 47-49 Περὶ τῆς Θεοσημίας ἀντίγραμμα πρὸς τὸν ἴδιον ἀδελφὸν Χρυσοστομίτην Κὺρ Ἰωάννην.

Σσ. 50-52. Ἡ ἀκολουθία τῆς θείας λειτουργίας τῆς προγραφήσης (sic) θεοσημίας.

Σσ. 52-53. Στιχηρὰ ἰδιόμελα, Ποίημα Νεοφύτου Πρεσβυτέρου, Μοναχοῦ καὶ Ἐγκλείστου.

2) Ἰωάννου Χ. Χατζηϊωάννου, Ἱστορία καὶ ἔργα Νεοφύτου Πρεσβυτέρου Μοναχοῦ καὶ Ἐγκλείστου, Ἐν Ἀλεξανδρείᾳ, Ἐκ τοῦ Πατριαρχικοῦ Τυπογραφείου, 1914.

Βιβλιοθήκη Ἱερᾶς Ἀρχιεπισκοπῆς Κύπρου ἀρ. 8/Α.

Σσ. 137-150 Νεοφύτου Πρεσβυτέρου, Μοναχοῦ καὶ Ἐγκλείστου, Θεοσημεία.

Σσ. 150-152 Νεοφύτου Πρεσβυτέρου, Μοναχοῦ καὶ Ἐγκλείστου, Περὶ τῆς Θεοσημείας ἀντίγραμμα πρὸς τὸν ἴδιον ἀδελφὸν Χρυσοστομίτην Κὺρ Ἰωάννην.

Σσ. 153-154 Ἡ ἀκολουθία τῆς θείας λειτοργείας (sic) τῆς προγραφήσης (sic) Θεοσημείας.

Σσ. 154-156 Στιχηρὰ Ἰδιόμελα, Ποίημα Νεοφύτου Πρεσβυτέρου, Μοναχοῦ καὶ Ἐγκλείστου.

3) Ἰωάννου Π. Τσικνοπούλλου, Τὸ συγγραφικὸν ἔργον τοῦ Ἁγίου Νεοφύτου, ἐν «Κυπριακαὶ Σπουδαί», τόμ. XXII, 1958, σσ. 133-136 Ἡ Θεοσημία.

4) Ἰωάννου Π. Τσικνοπούλλου, Τὰ ἐλάσσονα τοῦ Νεοφύτου Πρεσβυτέρου, Μοναχοῦ καὶ Ἐγκλείστου, ἐν «Byzantion», τόμ. 39, 1969, σσ. 361-390 Τὸ βιβλίον τῆς Θεοσημίας.

5) Γεωργίου Κ. Χριστοδούλου, «Un canon inédit sur la Théosémie de Néophyte le Reclus composé par son frère, Jean le Chrysostomite», Revue des Études Byzantines, 55, 1997, σσ. 247-259.

**δ) Ἐκδόσεις ἀκολουθιῶν ὁσίας Ξένης.**

1) Μηναῖον τοῦ Ἰαννουαρίου, Ἐνετίῃσιν 1551, Παρὰ Ἰωάννῃ τῷ Ῥικαινῷ, ἐπιμελείᾳ Γρηγορίου τοῦ Μαλαξοῦ.

Βιβλιοθήκη Ἱερᾶς Ἀρχιεπισκοπῆς Κύπρου ἀρ. 38Β.

2) Μηναῖον τοῦ Ἰαννουαρίου, Ἐνετίῃσιν 1816, Παρὰ Νικολάῳ Γλυκεῖ τῷ ἐξ Ἰωαννίνων, σσ. 224-230.

Βιβλιοθήκη Ἱερᾶς Ἀρχιεπισκοπῆς Κύπρου ἀρ. 64Β.

3) Μηναῖον τοῦ Ἰανουαρίου, Ἐκδότης Π. Π. Παρασκευόπουλος, Ἐν Ἀθήναις 1904, σσ. 189-194.

4) Μηναῖον τοῦ Ἰανουαρίου, ἐπιστασίᾳ Γεωργίου Γ. Γεγλέ, Ἐκδότης Μιχαὴλ Σαλίβερος, Μεσογείων 78 Ἀμαρούσιον, ἄ. ἔ., σσ. 280-287.

5) Μηναῖον τοῦ Ἰανουαρίου, Ἔκδοσις «Τὸ Φῶς», Ἐν Ἀθήναις 1960, σσ. 353-361.

6) Μηναῖον τοῦ Ἰανουαρίου, Ἔκδοσις Ἀποστολικῆς Διακονίας τῆς Ἐκκλησίας τῆς Ἑλλάδος, Ἐπανέκδοσις γ΄, Ἐν Ἀθήναις 1989, σσ. 198-203.

7) Πλήρης ἀκολουθία τῆς ὁσίας Ξένης συνταχθεῖσα ἐπὶ τῇ βάσει καὶ ἄλλων ἐκκλησιαστικῶν ὑπὸ Νικοδήμου ἱερομονάχου.

Ἐν Σμύρνῃ, τύποις «Ἀμαλθείας». 1875.

8) Ἡ ἱερὰ ἀκολουθία, οἱ οἶκοι καὶ ὁ βίος τῆς ὁσίας μητρὸς ἡμῶν Ξένης πολιούχου τῆς πόλεως Μυλάσων καὶ Καρίας.

Ἐν Ἀθήναις ἐκ τοῦ τυπογραφείου Ἀθανασίου Γ. Δεληγιάννη, Ὁδὸς Πειραιῶς - Ζήνωνος ἀριθ. 2. 1906.

9) Ἡ ἱερὰ ἀκολουθία, οἱ οἶκοι καὶ ὁ βίος τῆς ὁσίας μητρὸς ἡμῶν Ξένης πολιούχου τῆς πόλεως Μυλάσων τῆς Καρίας. Ἐκδίδεται μερίμνῃ τῆς Πολυξένης Α. Λαδοπούλου μαίας ἐν Καΐρῳ ὑπὲρ ἀνεγέρσεως ἱεροῦ ναοῦ μετὰ νεκροταφείου ἐν Μυλάσοις τῆς Καρίας.

Ἐν Καΐρῳ ἐκ τοῦ τυπογραφείου Ι. Πολίτου, 1909.

10) Ἀκολουθία παρακλητικὸς κανὼν καὶ οἶκοι ἤτοι χαιρετισμοὶ τῆς ὁσίας μητρὸς ἡμῶν Ξένης. Ἐποιήθησαν ἐν Ἁγίῳ Ὄρει ὑπὸ Γερασίμου μοναχοῦ Μικραγιαννανίτου Ὑμνογράφου τῆς Μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας. Ἐγκρίσει τῆς ἁγίας καὶ ἱερᾶς Συνόδου τῆς Ἐκκλησίας τῆς Ἑλλάδος. Ἔκδοσις ἱεροῦ ναοῦ ὁσίας Ξένης Χαριλάου - Θεσσαλονίκης, ἐπιμελείᾳ πρωτοπρεσβυτέρου Δημητρίου Καταβέλου.

Θεσσαλονίκη 1980.

Βιβλιοθήκη Ἀρχιεπισκόπου Κύπρου Χρυσοστόμου.

Εἰς τὰς σσ. 81-126 ὑπάρχει φωτοαντίγραφον τῆς ἐκδόσεως τοῦ Φιλολογικοῦ Συλλόγου «Ἡ ὁσία Ξένη» ἐν Μυλάσοις Καρίας μετὰ προλόγου ἡμερ. 2 Ἀπριλίου 1906.

### ε) Βίοι - Συναξάρια ὁσίας Ξένης.

1) Th. Nissen., S. Eusebiae seu Xenae Vita, Analecta Bollandiana, τόμ 56, (1938) σσ. 102-117. Σσ. 106-117 Βίος τῆς ὁσίας μητρὸς ἡμῶν Εὐσεβείας τῆς μετονομασθείσης Ξένης, ἀρχ. Πᾶσαι αἱ πολιτεῖαι καὶ αἱ μαρτυρίαι τῶν ἁγίων θαυμαστὴν μιμοῦνται λαμπρότητα.

2) Συμεὼν τοῦ Μεταφραστοῦ, Βίος καὶ πολιτεία τῆς ὁσίας Εὐσεβίας τῆς μετονομασθείσης Ξένης, ἀρχ. Ὁ καινὸς καὶ ξένος τῆς θαυμασίας Ξένης βίος βραχεῖαν μὲν ὡς οἷόν τε, P. G., τόμ. 114, σσ. 981-1000.

3) H. Delehaye, Synaxarium Ecclesiae Constantinopolitanae e codice Sirmondiano, Propylaeum ad Acta Sanctorum Novembris, Βρυξέλλαι 1902, σσ. 419-420.

4) Ἀγαπίου μοναχοῦ, Ἐκλόγιον, τουτέστιν οἱ ὡραιότεροι βίοι τῶν ἁγίων, ἐκ τοῦ Μεταφραστοῦ Συμεῶνος ἐκλελεγμένοι καὶ εἰς κοινὴν μεταφρασθέντες διάλεκτον.

Ἐνετίησι, Παρὰ Ἰωάννῃ Ἀντωνίῳ τῷ Ἰουλιανῷ.

αχμδ΄, σσ. 207-215.

5) Μαξίμου ἐπισκόπου Κυθήρων, Βίοι ἁγίων ἐκ τῆς ἑλληνικῆς γλώττης, ἤτοι ἐκ τῶν Συναξαρίων μεταφρασθέντες.

Ἐνετίησιν, Παρὰ Νικολάῳ Γλυκεῖ τῷ ἐξ Ἰω-αννίνων.

αχπε΄, σσ. 358-359.

6) Νικοδήμου Ἁγιορείτου, Συναξαριστὴς τῶν δώδεκα μηνῶν τοῦ ἐνιαυτοῦ, τόμ. Α΄, Ἀθήνησι 1868, σ. 407.

7) Κωνσταντίνου Χρ. Δουκάκη, Μέγας Συναξαριστής, Ἰανουάριος, Ἐν Ἀθήναις 1889, σσ. 531-535.

8) Σωφρονίου Εὐστρατιάδου, πρ. Λεοντοπόλεως, Ἁγιολόγιον τῆς Ὀρθοδόξου Ἐκκλησίας, 1935, Ἔκδοσις Ἀποστολικῆς Διακονίας τῆς Ἐκκλησίας τῆς Ἑλλάδος, σ. 362.

9) Μιχαὴλ Ἰ. Γαλανοῦ, Οἱ βίοι τῶν ἁγίων τοῦ Μηνολογίου τῆς Ὀρθοδόξου Ἑλληνικῆς Ἐκκλησίας, τεῦχος Α΄, Μὴν Ἰανουάριος, Ἔκδοσις γ΄ 1988, σ. 101.

10) Macaire, moine de Simonos - Petras, Le Synaxaire, Vies des Saints de l' Église Orthodoxe, Tome Second, Décembre, Janvier, Éditions «To Perivoli tis Panaghias», Thessalonique 1988, σσ. 498-499.

## 2. Βοηθήματα.

### α) Μελέται.

1) F. Halkin, Bibliotheca Hagiographica Graecae, τόμ. I, Βρυξέλλαι 1957, σσ. 194-195 Eusebia seu Xena Mylasae in Caria saec. v. Ian. 24. τόμ. II, Βρυξέλλαι 1957, σ. 316 Xena Mylasena - Eusebia, Auctarium B.H.G., Βρυξέλλαι 1969 σσ. 67-68 Eusebia - Xena, Novum Auctarium B.H.G., Βρυξέλλαι 1984, σ. 72 Eusebia - Xena, B.H.G. τόμ. II. σ. 131 Neophytus inclusus presb. et mon. in Cypro tc. 1215 - Ian. 24. Auctarium B.H.G. σ. 138 Neophytus inclusus, Novum Auctarium B.H.G. σ. 154 Neophytus inclusus.

2) L. Petit, Bibliographie des Acolouthies Grecques, Βρυξέλλαι 1926, σσ. 291-292 Xene (Eusebia) Mylasae in Caria, saec. V. - Ian. 24, σσ. 204-205 Neophytus presb. et inclu-sus in Cypro, cca 1215 - Apr. 12, Ian. 24, Sept. 28.

3) H. Follieri, Initia Hymnorum Ecclesiae Graecae, Vol V, Pars altera, Città del Vaticano 1966, σ. 259 Ξένη ὁσία (Ian. 24).

4) Εὐλογίου Κουρίλα, Μητροπολίτου Κορυτσᾶς, Βίος τῆς ὁσίας Ξένης ἢ Εὐσεβίας τῆς ἐν Μυλάσσοις Καρίας ἐν εἰρήνῃ τελειωθείσης, ἐν «Θρακικά» τόμ. 26, (1957), σσ. 164-177.

5) Β. Ν. Γιαννοπούλου, Ξένη ἡ ὁσία 24 Ἰανουαρίου, «Εὐσέβεια τὸ πρὶν» ὀνομαζομένη, «Θρησκευτικὴ καὶ Ἠθικὴ Ἐγκυκλοπαιδεία», τόμ. 9ος Ἀθῆναι 1966, σ. 654.

6) Ἰωάννου Π. Τσικνοπούλλου, Νεόφυτος ὁ Ἔγκλειστος, Ὅσιος τοῦ ΙΒ΄ - ΙΓ΄ αἰῶνος, «Θρησκευτικὴ καὶ Ἠθικὴ Ἐγκυκλοπαιδεία», τόμ. 9ος, Ἀθῆναι 1966, σσ. 406-408.

7) Ἰωάννου Π. Τσικνοπούλλου, Ἡ ἱερὰ Μονὴ τοῦ Χρυσοστόμου τοῦ Κουτζουβένδη καὶ τὰ ἱερὰ αὐτῆς κτίσματα, Λευκωσία 1959, σσ. 32-36 Οἱ δεσμοὶ τοῦ ἁγίου Νεοφύτου μὲ τὴν ἱερὰν Μονὴν τοῦ Χρυσοστόμου. Ὁ αὐτάδελφος μοναχὸς καὶ ἡγούμενος Ἰωάννης.

### β) Ἡ μεταφορὰ τῆς μνήμης τοῦ ὁσίου Νεοφύτου τὴν 24ην Ἰανουαρίου.

1) Ἰωάννου Π. Τσικνοπούλλου, Ὁ Ἅγιος Νεόφυτος πρεσβύτερος μοναχὸς καὶ Ἔγκλειστος καὶ ἡ ἱερὰ αὐτοῦ Μονή, Ἐν Κτήματι Πάφου 1955, σ. 49.

2) Ἰωάννου Π. Τσικνοπούλλου, Ἱστορία τῆς Ἐκκλησίας Πάφου, Λευκωσία 1971, σ. 202.

3) Cl. Cobham, The Churches and Saints of Cyprus, London 1910, σσ. 24, 26, 38.

4) J. T. Hutchinson and Cl. Cobham, A handbook of Cyprus,

1909, σσ. 124, 126.

5) Ἱερᾶς Ἀρχιεπισκοπῆς Κύπρου, Ἡμερολόγιον Ἐκκλησίας Κύπρου, Τυπικὴ διάταξις ἱερῶν ἀκολουθιῶν 1997, σσ. 83, 279.

**γ) Ἡ ἀποκατάστασις τῆς Ἀκολουθίας τῆς Θεοσημείας εἰς τὸν οἰκεῖον λειτουργικὸν χρόνον.**

Θεοσημείαν ἐκάλεσεν ὁ ὅσιος Νεόφυτος ὁ Ἔγκλειστος τὴν «ἐκ τοῦ κρημνοῦ καὶ τοῦ λίθου» θαυμαστὴν αὐτοῦ διάσωσιν, ὅτε «πόθος ἡσυχίας ἐνίκα καὶ ἐκίνει αὐτόν», ἵνα διευρύνῃ τὰ τῆς «πρωτοκαθέδρου Ἐγκλείστρας ὑπερῷα μέρη, ἵνα τῆς τῶν πολλῶν ἀποδιδράσκῃ ὀχλήσεως». Περισκάπτοντος αὐτοῦ τὴν καινοτέραν Ἐγκλείστραν, κατὰ τὴν 24ην Ἰανουαρίου 1199, «ἐτμήθη λίθος βραχώδης καὶ σκληρὸς καὶ συνεῖλκεν αὐτὸν πρὸς τὰ κάτω». «Δι' ἀγγελικῆς καὶ ἀοράτου τινὸς ἐπιστασίας ὡρᾶτο ὁ λίθος εἰς τὰ ὀπίσω κινούμενος καὶ τὴν κατωφερῆ καταλείψας ὁρμὴν τῇ ἀνωφερεῖ ξενοπρεπῶς ἐπωθεῖτο». Ἀκολουθῶν τὸ παράδειγμα τοῦ «ἀλλογενοῦς ἐκείνου λεπροῦ καὶ Σαμαρείτου, ὃν προσεπήνεσεν ὁ Κύριος, διὰ τὸ ἐπιστρέψαι καὶ δοῦναι δόξαν τῷ Θεῷ», συνέγραψεν ὁ Γέρων Ἔγκλειστος Ὑπόμνημα εἰς τό γεγονὸς τῆς Θεοσημείας μετὰ τινων ὕμνων. Κατέλιπε δὲ ἐντολὴν πρὸς τοὺς μαθητὰς αὐτοῦ «παρακατέχειν ἐτησίως τὴν ἡμέραν ταύτην ἥτις συνέπιπτεν μετὰ τῆς ἑορτῆς τῆς πανοσίου Ξένης, λειτουργίαν δὲ καὶ προσφορὰν προσφέρειν τῷ πανελεήμονι Θεῷ». Ἐκφράζων ὁ Ὅσιος τὴν εὐχαριστίαν του πρὸς τὸν Κύριον, ὥρισεν ὅπως κατὰ τὸν Ὄρθρον τῆς ἀκολουθίας τῆς Θεοσημείας ἀναγινώσκεται τὸ Εὐαγγέλιον τῶν δέκα λεπρῶν, τὸ ὁποῖον ἀναφέρεται εἰς τήν εὐχαριστίαν τοῦ ἑνὸς θεραπευθέντος λεπροῦ πρὸς τὸν Κύριον. Ἀντίγραμμα περὶ τῆς Θεοσημείας ἀπέστειλεν πρὸς τὸν ἴδιον ἀδελφὸν Χρυσοστομίτην κὺρ Ἰωάννην. Τὸ πρωτότυπον χειρόγραφον, τὸ διαλαμβάνον ἀμφότερα τὰ ἔργα, δυστυχῶς ἀπωλέσθη. Διεσώθη μόνον τὸ Ὑπόμνημα καὶ τὸ Ἀντίγραμμα εἰς τὴν Θεοσημείαν, μετά τινων ὕμνων, εἰς τὴν ὑπὸ τοῦ ἀρχιμανδρίτου Κυπριανοῦ, κατὰ τὸ 1778 ἔτος, γενομένην ἔκδοσιν.

Νέαν πορείαν εἰς τὴν μελέτην τῆς Ἀκολουθίας τῆς Θεοσημείας ἐγκαινιάζει τὸ εἰς τὸν ἐνοριακὸν ναὸν τοῦ Τιμίου Σταυροῦ Λευκάρων, γενετείρας τοῦ Ὁσίου, διασωθὲν χειρόγραφον. (Θερμὰς εὐχαριστίας ἐκφράζομεν ἐνταῦθα τόσον πρὸς τοὺς Αἰδεσιμωτάτους Ἱερεῖς ὅσον καὶ πρὸς τὰ Μέλη τῆς Ἐπιτροπείας τοῦ ἱ. ναοῦ Τιμίου Σταυροῦ Λευκάρων, διὰ κάθε διευκόλυνσιν παρασχεθεῖσαν διὰ τὴν μελέτην τοῦ πρωτοτύπου χειρογράφου, ὃ τεθησαύρισται ἐν τῷ σκευοφυλακίῳ τοῦ ἱεροῦ τούτου ναοῦ). Τὸ ἐν λόγῳ χειρόγραφον (Λεύκαρα 2) χρονολογεῖται εἰς τὸ πρῶτον τέταρτον τοῦ ΙΗ΄ αἰῶνος καὶ διαλαμβάνει ὁμοῦ τὴν ἀκολουθίαν τῆς ὁσίας Ξένης καὶ τῆς Θεοσημείας τοῦ ὁσίου Νεοφύτου τοῦ Ἐγκλείστου. Ἐνδιαφέρον παρουσιάζει ὁ Κανὼν πρὸς τιμὴν τοῦ Ὁσίου. Ἡ σημείωσις, ἥτις προτάσσεται τοῦ Κανόνος, ἀποδίδει τοῦτον εἰς τὴν γραφίδα Ἰωάννου τινὸς Χρυσοστομίτου. Ὁ χαρακτηρισμὸς τοῦ ποιητοῦ τοῦ Κανόνος ὡς Χρυσοστομίτου, συνδέει τοῦτον ἀμέσως μετὰ τῆς Ἱερᾶς τοῦ ἱεροῦ πατρὸς Χρυσοστόμου ἐν ταῖς ὑπωρείαις τοῦ ὄρους τοῦ Κουτζουβένδη μονῆς. Ἡ δὲ ἀκροστιχὶς τοῦ Κανόνος βεβαιοῖ ἐκ νέου τὴν ταυτότητα τοῦ ποιητοῦ· Αἶνον ᾄδω σοι τῷ Σωτῆρι Χριστῷ μου. Ἰωάννου.

Ἐκ τῆς γραφίδος τοῦ Ἐγκλείστου πληροφορούμεθα ὅτι ὁ κατὰ σάρκα ἀδελφὸς αὐτοῦ Ἰωάννης εἰσῆλθεν εἰς τὴν μονὴν τοῦ Χρυσοστόμου, ἔνθα καὶ ἐκάρη τὸ πρῶτον μοναχός. Ὕστερον δὲ ἐγένετο οἰκονόμος καὶ εἶτα ἡγούμενος τῆς αὐτῆς μονῆς, κατὰ τὰς ἀρχὰς τοῦ ΙΓ΄ αἰῶνος, γνωστὸς ὡς Ἰωάννης ὁ Χρυσοστομίτης. Τὸ γεγονὸς ὅτι ὁ ποιητὴς τοῦ Κανόνος ἀναφέρεται εἰς τὸν Ἔγκλειστον διὰ τῶν ἐπιθέτων ὁ δοῦλός σου, ὁ θεράπων σου, ὁ πιστός σου λάτρις, ὁ σὸς οἰκέτης καὶ οὐδέποτε διὰ τῶν ἐπιθέτων ὁ ὅσιος ἢ ἅγιος καὶ δὲν ἀναφέρεται εἰς τὸν θάνατον τοῦ Ἐγκλείστου, ἀποδεικνύει ὅτι ὁ Κανὼν συνετέθη πρὸ τῆς ὁσιακῆς τελευτῆς αὐτοῦ, τὴν 12ην Ἀπριλίου 1219. Τὸ λεξιλόγιον τοῦ Κανόνος εἶναι ἐκπληκτικῶς πλησίον τοῦ λεξιλογίου τοῦ Ἐγκλείστου, γεγονὸς ὅπερ καταδεικνύει τὸν ποιητὴν τοῦ Κανόνος ἐμβριθέστατον γνώστην τῶν ἔργων τοῦ Ἐγκλείστου. Τὸ ὄνομα αὐτοῦ καὶ μόνον ὑποδηλοῖ τὴν μοναστικὴν αὐτοῦ καταβολὴν καὶ δὲν θὰ ἠδύνατο νὰ εἶναι ἕτερος ἀπὸ τὸν κατὰ σάρκα ἀδελφὸν καὶ κατὰ πνεῦμα υἱὸν τοῦ Ἐγκλείστου, τὸν παραλήπτην πολλῶν συγγραφῶν αὐτοῦ, καθὼς καὶ τοῦ Ὑπομνήματος καὶ τοῦ Ἀντιγράμματος τῆς Θεοσημείας.

Πλὴν τῶν Στιχηρῶν Ἰδιομέλων τῶν ψαλλομένων ἐντὸς ἢ ἐκτὸς τοῦ κελλίου τοῦ Ἐγκλείστου, θεωροῦμεν ὅτι ἡ ἐπιλογὴ καὶ διαμόρφωσις τῶν ἀναγνωσμάτων τῆς Παλαιᾶς καὶ τῆς Καινῆς Διαθήκης εἶναι ἔργον τοῦ ἰδίου τοῦ Ἐγκλείστου. Τὰ ὑπόλοιπα τῆς Ἀκολουθίας τῆς Θεοσημείας, ἤτοι στιχηρὰ εἰς τό, Κύριε ἐκέκραξα, ἕτερα στιχηρὰ τῆς λιτῆς, ἀπόστιχα, ἀπολυτίκιον, κοντάκιον, οἶκος, ἐξαποστειλάριον, στιχηρὰ προσόμοια τῶν αἴνων καὶ τὸ δοξαστικὸν διὰ τοῦ ὁποίου ἐξυμνεῖται ὁ Κύριος καὶ ἡ τούτου Μήτηρ, θεωροῦμεν ὅτι εἶναι ἔργον τοῦ αὐταδέλφου αὐτοῦ Ἰωάννου τοῦ Χρυσοστομίτου. Τὸ δοξαστικὸν τῶν αἴνων τίθεται ἐν τῇ ἀκολουθίᾳ ἄνευ θεοτοκίου, ὡς ἔχει ἐν τῷ χειρογράφῳ Λεύκαρα 2, τὸ ὁποῖον διασῴζει τὴν παλαιοτέραν μορφὴν τῆς ἀκολουθίας τῆς Θεοσημείας, ὡς αὕτη ἐποιήθη ὑπὸ τοῦ Ὁσίου καὶ τοῦ αὐταδέλφου αὐτοῦ Ἰωάννου Χρυσοστομίτου. Πρόκειται περὶ τοῦ αὐτοῦ Ἰωάννου, ὅστις ἐν τῷ Προλόγῳ τῆς βίβλου τῶν Κατηχήσεων προτρέπει λιπαρικῶς τὸν Ἔγκλειστον, «τοῦ γενέσθαι νοῦς καὶ γλῶττα καὶ χεὶρ γράφουσα τὰ εἰς δόξαν Θεοῦ». Οὕτω καὶ εἰς τὴν περίπτωσιν οὐχὶ μόνον τοῦ Κανόνος, ἀλλὰ καὶ τῆς λοιπῆς ἀκολουθίας τῆς Θεοσημείας, νοῦς καὶ γλῶττα καὶ χεὶρ Ἰωάννου τοῦ Χρυσοστομίτου γράφουσαι τὰ εἰς δόξαν Θεοῦ, ἐξυμνοῦν τὰ θαυμάσια τῆς Θεοσημείας. Ἓν ἐκ τῶν πρώτων κέντρων διαδόσεως τῆς Ἀκολουθίας τῆς Θεοσημείας ἦτο ἡ γένετειρα τοῦ Ὁσίου, τὰ Λεύκαρα, ἔνθα

διεσώθη τὸ πλῆρες κείμενον αὐτῆς.

Εἰς τὸ σημεῖον τοῦτο ἀναφέρομεν ἓν δεύτερον χειρόγραφον, τὸ ὁποῖον διαλαμβάνει ὕμνους ἐκ τῆς Ἀκολουθίας τῆς Θεοσημείας, παραλεῖπον ὅμως τὸν Κανόνα τοῦ Ἰωάννου τοῦ Χρυσοστομίτου. Τὸ κείμενον περιλαμβάνεται εἰς τὸ ὑπ' ἀριθμὸν 26 χειρόγραφον τῆς Ἱερᾶς Μητροπόλεως Κιτίου. (Θερμὰς εὐχαριστίας ἐκφράζομεν πρὸς τὸν ἱερομόναχον Σωφρόνιον Μιχαηλίδην, ὑπεύθυνον Βιβλιοθήκης Ἱ. Μητροπόλεως Κιτίου, διὰ τὴν παρασχεθεῖσαν ἄδειαν μελέτης τοῦ ἐν λόγῳ χειρογράφου). Ἡ ἐνθύμησις εἰς τὸ τέλος τοῦ χειρογράφου θεωρεῖ τοῦτο ἀνῆκον εἰς τὸν ἐν Λευκωσίᾳ καθεδρικὸν ναὸν τοῦ ἁγίου Ἰωάννου τοῦ Θεολόγου. Ἡ διαφορὰ εἰς τὸ κείμενον τοῦ χειρογράφου (Κίτιον 26) καὶ αὐτοῦ τῶν Λευκάρων ἔγκειται εἰς τὸν τρόπον, καθ' ὃν μνημονεύεται τὸ ὄνομα τοῦ Ἐγκλείστου, τὸν ὁποῖον ὀνομάζει ὅσιον, ἅγιον καὶ θεοφόρον. Οἱ δὲ στίχοι πρὸ τοῦ συναξαρίου τοῦ Ὁσίου μνημονεύουν τὸν θάνατον αὐτοῦ. Ἡ εἰς τὸν καθεδρικὸν ναὸν τῆς νήσου εἴσοδος καὶ ἀποδοχὴ τῆς Ἀκολουθίας δηλοῖ καὶ τὴν ἀποδοχὴν αὐτῆς ὑπὸ τῆς ἐπισήμου Ἐκκλησίας τῆς Νήσου, μέχρι καὶ τῶν μέσων τοῦ 19ου αἰῶνος. Κατὰ τὸν Ἰωάννην Π. Τσικνόπουλλον ἡ μνήμη τοῦ ὁσίου Νεοφύτου ἀπὸ τῆς 12ης Ἀπριλίου μετετέθη εἰς τὴν 24ην Ἰανουαρίου, ἐπὶ ἡγουμένου τῆς μονῆς ἁγίου Νεοφύτου Γρηγορίου (1855 - 1893), πιθανῶς ἵνα μὴ συμπίπτῃ ἡ μνήμη αὐτοῦ μετὰ τῆς πενθίμου περιόδου τοῦ Τριωδίου (Ἰωάννου Π. Τσικνοπούλλου, Ἱστορία τῆς Ἐκκλησίας Πάφου, Λευκωσία 1971, σ. 202). Οὕτω ἐν τῇ παρόδῳ τοῦ χρόνου παρέμεινεν εἰς λειτουργικὴν χρῆσιν μόνον ἡ Ἀκολουθία τῆς 12ης Ἀπριλίου, ψαλλομένη τὴν 24ην Ἰανουαρίου καὶ μνημονεύουσα τὴν κοίμησιν τοῦ Ἐγκλείστου καὶ οὐχὶ τὸ θαυμάσιον τῆς Θεοσημείας.

Μετὰ τὴν ἀνεύρεσιν τῆς χειρογράφου παραδόσεως τῆς πλήρους ἀκολουθίας τῆς Θεοσημείας, ἐπεχειρήθη ἀποκατάστασις τοῦ κειμένου εἰς τὴν ἀρχικὴν αὐτοῦ μορφήν, βάσει τῶν κωδίκων τῶν ἀποκειμένων ἐν τῷ ἐνοριακῷ ναῷ Τιμίου Σταυροῦ, κωμοπόλεως Λευκάρων (Χειρόγρ. Λεύκαρα 2), καὶ ἐν τῇ Βιβλιοθήκῃ τῆς Ἱερᾶς Μητροπόλεως Κιτίου (Χειρόγρ. Κίτιον 26). Οὕτω δημοσιεύεται διὰ πρώτην φορὰν ἡ πλήρης Ἀκολουθία τῆς Θεοσημείας καὶ ἐπανακάμπτει εἰς τὸν οἰκεῖον λειτουργικὸν τόπον καὶ χρόνον, συμφώνως πρὸς τὰς τυπικὰς διατάξεις, ἃς κατέλιπεν ὁ Ἔγκλειστος: «...Ἀλλὰ μηδεὶς ἐξ ὑμῶν οἰέσθω παρακαλῶ περιττῶς καὶ ἀλόγως ἢ χάριν φιλοτιμίας τινός, ...τοῦτο γεγραφηκέναι ἡμᾶς, ἀλλὰ χρεωστικῶς καὶ μάλα εὐλογωτάτως ὁμοῦ καὶ δικαίως, ὅπως καὶ Θεὸς δοξάζηται ἀξιοχρέως καὶ οἱ βουλόμενοι ὠφελοῦνται τῶν συνετῶν».

Ἡ Ἀκολουθία τῆς Θεοσημείας παραμένει ὡς ἡ ἀρχαιοτέρα γνωστὴ Ἀκολουθία γραφεῖσα ἐν Κύπρῳ. Περιποιεῖ δὲ ἰδιαιτέραν τιμὴν καὶ εὐλογίαν τὸ γεγονός, ὅτι τὸ κείμενον τῆς Ἀκολουθίας ἐξῆλθεν ἐκ τῆς τιμίας χειρὸς τοῦ Ὁσίου, συμπληρωθεῖσα ὑπὸ τοῦ αὐταδέλφου αὐτοῦ Ἰωάννου Χρυσοστομίτου. Ὁ Κανὼν εἰς τὴν Θεοσημείαν ἐδημοσιεύθη μετὰ εἰσαγωγῆς, διὰ πρώτην φοράν, ὑπὸ τοῦ θεολόγου κ. Γεωργίου Κ. Χριστοδούλου, εἰς τὸ περιοδικὸν Revue des Études Byzantines, Un Canon inédit sur la Théosémie de Néophyte le Reclus composé par son frère, Jean le Chrysostomite, τόμος 55, (1997), σσ. 247-259. Ἡ συμπεπληρωμένη Ἀκολουθία τῆς Θεοσημείας τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Νεοφύτου τοῦ Ἐγκλείστου ἐξεδόθη κατὰ τὸ ἔτος 1998, τῇ φιλευσεβεῖ δαπάνῃ τοῦ Ἱδρύματος «Α. Γ. Λεβέντης» καὶ τῇ ἐπιμελείᾳ τοῦ θεολόγου δρος Γεωργίου Κ. Χριστοδούλου. Ὁ σκοπὸς τῆς ἐκδόσεως αὐτῆς ἦτο λειτουργικὸς μᾶλλον ἢ φιλολογικός. Ἐγένετο ὅμως προσπάθεια ὅπως διορθωθοῦν λάθη τινὰ τῶν ἐκδόσεων τοῦ Ὑπομνήματος, τοῦ Ἀντιγράμματος καὶ τῶν στιχηρῶν τῶν ποιηθέντων ὑπὸ Νεοφύτου τοῦ Ἐγκλείστου καὶ τῶν χειρογράφων τῆς Ἀκολουθίας τῆς Θεοσημείας (Λεύκαρα 2, Κίτιον 26).

Εἰς τὸ Συναξάριον τῆς Ἀκολουθίας δημοσιεύονται, διὰ πρώτην φοράν, Στίχοι εἰς τὴν Θεοσημείαν καὶ εἰς τοὺς Ἐπισκόπους Καρπασίου Θεόπροβον καὶ Φίλωνα, ποίημα μοναχοῦ Χαρίτωνος Σταυροβουνιώτου. Σημειωθήτω ὅτι εἰς τὴν θέσιν τοῦ ἀπολεσθέντος θεοτοκίου τῆς α΄ ᾠδῆς τοῦ Κανόνος τῆς Θεοσημείας ἐτέθη τὸ θεοτοκίον τῆς α΄ ᾠδῆς τοῦ κανόνος τοῦ ὁσίου Ἰωάννου, μαθητοῦ τοῦ ἁγίου Γρηγορίου τοῦ Δεκαπολίτου, ἑορταζομένου τὴν ΙΗ΄ Ἀπριλίου, «Ὁ συνυπάρχων τῷ Πατρὶ καὶ Πνεύματι». Κατόπιν ἀδείας τοῦ ἐκδότου, τὸν ὁποῖον θερμῶς εὐχαριστοῦμεν, ἡ ἐν λόγῳ Ἀκολουθία ἀναδημοσιεύεται εἰς τὸ παρόντα Ε΄ τόμον τῶν ὑπὸ τῆς Ἱερᾶς Ἀρχιεπισκοπῆς Κύπρου ἐκδιδομένων «Κυπρίων Μηναίων», τὸν περιλαμβάνοντα τὰς ἀκολουθίας τὰς ψαλλομένας ἐν Κύπρῳ κατὰ τοὺς μῆνας Ἰανουάριον καὶ Φεβρουάριον. Οὕτω ἀποκαθίσταται ἡ 24η Ἰανουαρίου, ὡς ἡμέρα Ἀναμνήσεως τῆς Θεοσημείας καὶ ἡ 12η Ἀπριλίου, ὡς ἡμέρα τῆς Κοιμήσεως τοῦ ὁσίου πατρὸς ἡμῶν Νεοφύτου τοῦ Ἐγκλείστου.